Mart. 31. ἐκρατήθη καὶ προσήχθη τῷ βασιλεῖ. Καὶ πρῶτον μὲν μετὰ πραότητος παρεκάλει αὐτὸν ἀνοικοδομῆσαι τὸν ναόν. Τοῦ δὲ ἀδύνατον εἶναι λέγοντος πάσας τὰς ἐκκλησίας τῶν χριστιανῶν ἀποστείλας κατέστρεψε. Καὶ λαβόντος ἀρχὴν τοῦ κατὰ τῶν χριστιανῶν διωγμοῦ, πᾶσα ἡλικία διαφόροις τιμωρίαις ἐξεθερίζετο, ὧν πρῶτος μετὰ πολλὰς καὶ διαφόρους βασάνους ξίφει ἐτελειώθη ὁ ἱερώτατος Ἀβδᾶς. Ἔπειτα ἐν τριάκοντα ἔτεσι πολλοὶ μάρτυρες ἀπεδείχθησαν, ἐξ ὧν ἐστι καὶ Βενιαμὶν διάκονος. Ὃς καλάμους ὀξεῖς εἴκοσιν κατὰ τῶν χειρῶν καὶ τῶν ποδῶν δεξάμενος καὶ ἕτερον κάλαμον κατὰ τοῦ παιδογόνου μορίου, καὶ ῥάβδον παχεῖαν κλάδους μᾶλλον δὲ ὄζους ἔχουσαν πανταχόθεν κατὰ τῆς ἕδρας ἐνέβαλεν. Αὐτὸς δὲ γενναίως ταῦτα ὑπομείνας, εἴληφεν τοὺς τῆς ἀθλήσεως στεφάνους ἐν οὐρανοῖς ἐν Θεῷ· ἀμήν.

4. Τῇ[1] αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων λη' μαρτύρων.

5. Καὶ τοῦ ἁγίου μάρτυρος Μενάνδρου.

6. Καὶ τοῦ ὁσίου Στεφάνου τοῦ θαυματουργοῦ.

7. Καὶ τοῦ ὁσίου Βλασίου, τοῦ ἐκ πόλεως Ἀμορίου τὴν γέννησιν ἔχοντος.

4. — [1] *haec et reliqua litteris minutis in marg. add.* S.

---

Mart. 31. καὶ ῥάβδων ὑποστάντες πρὸς[4] τὴν ἀνώδυνον ζωὴν μετετάξαντο. Ὧν ἐστιν εἷς καὶ ὁ μακάριος διάκονος Βενιαμὶν κατὰ τῶν ὀνύχων εἴκοσι καλάμους ὀξεῖς ἐμπαγεὶς καὶ κατὰ τῶν φυσικῶν καὶ ἀναγκαίων μορίων τοῦ σώματος. — 4. 5. 2. — **Da** : 6. 1. 3 (καὶ ἄθλησις Βενιαμίν). — **Db** : Ἀκακίου ἐπισκόπου Μελιτηνῆς (Mart. 27[7]). — Ἰωάννου πατριάρχου Ἱεροσολύμων (Mart. 29[2]). — 6. 1. 3 (καὶ Ἀθηναίου Βενιαμήν). — **K** : Ἀκακίου. — Ἰωάννου ἐπισκόπου Ἱεροσολύμων. — 6. 1. 3 (Βενιαμὶν solius). — **N** : 3. 2. 1. 5. 6. — **Bb** : 3. — **Bc** : 3. — **C** : 3. 5. 2. — **Cd** : 3. 5. 2. — **Ce** : 3. 5. 2. — **Cg** : 3. 5. 2. — **R** : 1. 2. — Τῶν ἁγίων μαρτύρων Ἰωνᾶ καὶ Βαραχισίου καὶ τοῦ ἁγίου ἱερομάρτυρος καὶ ὁμολογητοῦ Ἀκακίου Μελιτηνῆς. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ (cf. Mart. 27[7], Mart. 29[1]). — Κυριακοῦ τοῦ φανερώσαντος τὸν τίμιον σταυρόν, τοῦ Ἰούδα ὀνομαζομένου τὸ πρότερον. — **Ra** : 1. — Σαβίνου (Mart. 12[3]). — Ἀκακίου ἐπισκόπου Μελιτηνῆς. — **Rb** : deest. — **Rc** : 1. — Τῶν ἁγίων Μαχθησοί, Ἠσακίου καὶ Συμεῶνος (Mai 15[5]). — Ἡρακλείου, Παυλίνου καὶ Βενεδίμου (Mai 15[6]). — Ὁσίου ἐπισκόπου Κουδρούβης τῆς κατὰ Ἱσπανίαν (Aug. 27[3]). — Λιβερίου ἀρχιεπισκόπου Ῥώμης τοῦ ὁμολογητοῦ (Aug. 27[2]). — **Mc** : Ἀκακίου ἐπισκόπου Μελιτηνῆς. — 2. — **Mv** : Ὑπατίου ἐπισκόπου Γαγγρῶν (Nov. 14[2]). — Ἀκακίου. — 3. — Καὶ ἕτεροι ἅγιοι πολλοὶ εἰς φυλακὴν βληθέντες καὶ ὑπὸ μυῶν καὶ γαλῶν συγκλεισθέντων αὐτοῖς βιβρωσκόμενοι ἐτελειώθησαν. — **Mr** : Ὑπατίου ἐπισκόπου Γαγγρῶν.

— [4] πάντα *corr. supra lin.* D.

---

## ΜΗΝ ΑΠΡΙΛΛΙΟΣ

ἡμέρας ἔχει λ', ἡ ἡμέρα ἔχει ὥρας ιγ' καὶ ἡ νὺξ ὥρας ια'.

### ΠΡΩΤΗ.

April. 1. 1. Μνήμη τῆς ὁσίας[1] Μαρίας τῆς Αἰγυπτίας. Αὕτη ἐξ Αἰγύπτου ἦν[2], ἐν ἀκολασίᾳ δὲ[3] τὸ πρότερον ζήσασα καὶ πολλῶν ἀνθρώπων ψυχὰς διὰ τῆς κατὰ μίξιν ἡδονῆς πρὸς ὄλεθρον ἐκκαλεσαμένη[4] καὶ ἐπὶ χρόνοις δεκαεπτὰ τῇ ἀσελγείᾳ προσμείνασα διὰ τὸ εὐθὺς ἐκ παίδων πρὸς τὴν πονηρὰν πρᾶξιν ἐξολισθῆσαι[5], ὕστερον ἐπέδωκεν ἑαυτὴν πρὸς ἄκραν ἐγκράτειαν καὶ ἀρετήν[6]· καὶ τοσοῦτον ὑψώθη δι' ἀπαθείας, ὡς καὶ τοῖς ὕδασιν ἐπιβαίνειν καὶ πεζῇ διαπερᾶν, καὶ ἐν τῷ προσεύχεσθαι μετάρσιος φαίνεσθαι ἄνω εἰς τὸν ἀέρα ἱπταμένη[7]. Ἡ δὲ αἰτία τῆς μεταβολῆς ἐστιν αὕτη. Κατὰ τὸν καιρὸν τῆς τοῦ τιμίου ξύλου ὑψώσεως, πολλῶν ἁπανταχόθεν συντρεχόντων ἐν τοῖς Ἱεροσολύμοις, ἀκολάστοις νέοις καὶ αὕτη | συνεξωρμήθη. (f. 188.) Κατὰ τὸν τόπον δὲ γενομένη[8] καὶ ἀοράτως τῆς τῶν σεπτῶν εἰσόδου καὶ ἐποπτείας κωλυομένη, τὴν Θεομήτορα παρθένον ἐγγυητὴν ἔθετο, εἰ τὴν εἴσοδον συγχωρηθείη, σωφροσύνην μὲν ἀνελέσθαι[9], μηκέτι δὲ βίῳ πονηρῷ καὶ ταῖς σαρκικαῖς δουλεύειν ἡδοναῖς καὶ ἐπιθυμίαις. Καὶ μέντοι τῆς εὐχῆς τυχοῦσα τὴν ὑπόσχεσιν[10] οὐκ ἐψεύσατο· ἀλλὰ περαιωθεῖσα τὸν Ἰορδάνην καὶ γενομένη κατὰ τὴν ἔρημον, ἐπὶ χρόνοις τεσσαράκοντα ἑπτὰ ἠγωνίσατο· καὶ[3] μηδένα μὲν[11] ἀνθρώπων τὸν <δὲ[12]> Θεὸν μόνον ἔχουσα θεατήν[13], τῆς ἀνθρωπίνης φύσεως ἀπανέστη[14], τὴν δὲ[3] ἀγγελικὴν ἐπὶ γῆς ἀγωγὴν καὶ πολιτείαν ἀνεκτήσατο[15]. Ὕστερον δὲ κατὰ θείαν πρόνοιαν ὤφθη Ζωσιμᾷ τῷ ἁγίῳ γέροντι εἰς τὰ ἐνδότερα τῆς ἐρήμου ἐκβαθύναντι· καὶ συντυχοῦσα καὶ τὰ κατ' αὐτὴν διηγησαμένη καὶ εἰς τὸν ἐπιόντα χρόνον τὸν Ἰορδάνην πεζῇ

1. — [1] μητρὸς ἡμῶν *add.* Mc. — [2] ἦν ἐξ A. Mc. — [3] *om.* Mc. — [4] ἐκκαλουμένη Mc. — [5] ἐξ. πρᾶξιν Mc. — [6] ἑαυτὴν ἐγκρατείᾳ καὶ ἀρετῇ Mc. — [7] (πεζῇ - ἱπταμένη) κατὰ γῆν εὐχομένην μετάρσιον αἴρεσθαι Mc. — [8] γενομένοι S. — [9] ἑλέσθαι Mc. — [10] ἐπαγγελίαν Mc. — [11] τῶν *add.* Mc. — [12] Mc, *om.* S. — [13] θ. ἔχουσα Mc. — [14] καὶ *add.* Mc. — [15] ἐκτήσατο *et hic des.* Mc.

---

April. 1. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — Τίτου (April. 2[1]). — Πολυκάρπου (April. 2[3]). — **K** : 1. — **N** : 1. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Cd** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Μακαρίου ἡγουμένου τῆς Πελεκητῆς. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Μακάριος ἐν Κωνσταντινουπόλει γεννηθεὶς καὶ νήπιος ἀπορφανισθεὶς ἀνάγεται παρὰ γνησίου αὐτοῦ θείου. Παραδοθεὶς δὲ εἰς τὴν τῶν ἱερῶν γραμμάτων παιδείαν, δεξιᾶς φύσεως ὢν καὶ ἐπιμέλειαν πολλὴν ἐπιδειξάμενος, συντόμως τὸ πᾶν τῆς γραφῆς διεξιὼν ἐπέγνω τὴν τῶν ἐπικήρων εὐτέλειαν καὶ ταχεῖαν φθορὰν καὶ τῶν οὐρανίων τὴν ἀϊδιότητα. Τούτου χάριν τῆς πόλεως ἐξιὼν κατήντησεν εἰς μοναστήριον Πελεκητὴν οὕτω προσαγορευόμενον· καὶ καταμίξας ἑαυτὸν τοῖς ἐκεῖσε μοναχοῖς, τὸ Χριστοφόρος ἀποβαλών, Μακάριος παρ' αὐτῶν ἐκεῖσε μετονομάζεται. Οὗτος μικροῦ δεῖν ἐν πάσαις ταῖς τοῦ κοινοβίου διακονίαις ὑπηρετήσας καὶ τὰς ἀρετὰς κατορθώσας ἐπὶ πολλῇ ταπεινώσει, γέγονεν ἀρχηγὸς ὁμοῦ τε καὶ θαυματουργὸς ἐξαίσιος· καὶ γὰρ ἀνίατα πάθη ἐθεράπευσεν ὁ Θεὸς δι' αὐτοῦ, καὶ ὑετὸν ἐξ οὐρανοῦ ἐπὶ γῆς δι' εὐχῆς κατήγαγε· καὶ μεγάλου καὶ ἐξακούστου γεγονότος ἐν ταῖς ἡμέραις ἐκείναις, πολὺ πλῆθος συνέρρεε πρὸς αὐτόν, οἱ μὲν ψυχικὰ ἐγκλήματα δι' αὐτοῦ ἀποσμηχόμενοι, οἱ δὲ σωματικῆς θεραπείας ἀπολαύοντες· ἕτεροι δὲ ψυχικῶς ὁμοῦ καὶ σωματικῶς ῥωννύμενοι ἐπορεύοντο οἴκαδε. Τῆς φήμης δὲ ταύτης Ταράσιος ὁ ἁγιώτατος πατριάρχης Κωνσταντινουπόλεως κατήκοος γεγονώς, διὰ τὸν πατρίκιον αὐτὸν μετεστείλατο Παῦλον, πάλαι μὲν παρ' αὐτοῦ ἀπηγορευμένῃ νόσῳ κατεσχημένον[1] θεραπευθέντα, τότε δὲ τῆς συμβίου αὐτοῦ ὁμοίως παρὰ τῶν ἰατρῶν ἀπαγορευθείσης, παρ' αὐτοῦ δὲ ἀναρρωσθείσης. Τοῦτον οὖν εὐλογήσας ἱερουργὸν Κυρίου πεποίηκε, παρακοὴν γὰρ οὐκ ἐνόσει ὡς οἱ πολλοί, ἀλλ' ὑπακοὴν ἐπετήδευεν ὡς εἰς ζωὴν ἄγουσαν. Ἀπελθόντος δὲ πρὸς τὴν μονὴν αὐτοῦ, τὴν ταπείνωσιν ἣν εἶχε πολλαπλάσιον εἰργάσατο. Τότε ὁ σκανδαλουργὸς διάβολος βασιλέα τύραννον εἰς τὸ Βυζάντιον ἐμφυτεύσας, τὰς σεβασμίους εἰκόνας πυρὶ καὶ ὕδατι παρεδίδου· Λέων ἦν ὁ Ἀρμένιος οὗτος, ὃς τὸν ἁγιώτατον πατριάρχην Νικηφόρον ἐξορίᾳ παρέπεμψε, τοὺς ἀρχιερεῖς καὶ ἀρχιμανδρίτας ἐξορίαις τε καὶ φυλακαῖς καὶ δειναῖς κατῄκιζε μάστιξι. Τότε καὶ ὁ θαυμάσιος οὗτος ἀνὴρ εἷς ἦν ἐκ τῶν μνημονευθέντων ἁγίων πατέρων, ποικίλως βασανισθεὶς καὶ ἐν

[1] κατισχημένον Mc.

April. 1. διαπεραιώσασα καὶ τῶν θείων μυστηρίων παρὰ τοῦ ἁγίου Ζωσιμᾶ μεταλαβοῦσα, εἶτα εἰς τὸν ἑαυτῆς ὑποστρέψασα τόπον αὐθωρόν, ἐν ᾧ τὸν Ζωσιμᾶν συνέτυχεν, ἐκοιμήθη. Εἰς δὲ τὸν ἐπιόντα ἐνιαυτὸν ὁ Ζωσιμᾶς καταλαβὼν τὴν ἔρημον καὶ ἀπελθὼν εὗρε τὸ αὐτῆς [16] λείψανον <καὶ [17]> ἔθαψε, λέοντος τοῦ θηρὸς τοῖς ἐμπροσθίοις ποσὶ τὸν τῆς μακαρίας τάφον ὀρύξαντος, προνοίᾳ Θεοῦ.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

April. 2. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Τίτου.

2. Καὶ ἄθλησις τοῦ ἁγίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ θαυματουργοῦ.

3. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Πολυκάρπου καὶ τῆς συνοδίας αὐτοῦ.

4. Καὶ τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Ἀμφιανοῦ καὶ Αἰδεσίου τῶν αὐταδέλφων [1]. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους [2] Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ μητρὸς ἀδελφοὶ ἐκ χώρας Λυδίας [3]· κατὰ δὲ Βηρυτὸν [4] γενόμενοι [5] ὑπὸ τοῦ μάρτυρος Παμφίλου παιδαγωγηθέντες πρὸς [6] τὴν εὐσέβειαν, τῷ ἄρχοντι παρέστησαν Οὐρβανῷ. Ὧν Ἀμφιανὸς πρῶτος κηρύξας [7] τὸν Χριστὸν παρρησίᾳ, πληγαῖς [6] κατὰ τοῦ προσώπου τύπτεται καὶ τοῖς τῶν στρατιωτῶν ποσὶ λακτίζεται καὶ ἐλαίῳ χρισθεὶς τοὺς πόδας πυρὶ καταφλέγεται. Κα ἀναρτηθεὶς ὡράθη ὅλος [8] διῳδηκὼς καὶ ὑπὸ τῶν λακτισμάτων τὰς πλευρὰς διερρωγὼς καὶ τῷ πυρὶ τὰς τῶν ποδῶν σάρκας δαπανηθείς· ἐπιμένων δὲ τῇ εἰς Χριστὸν ὁμολογίᾳ, τῷ βυθῷ τῆς θαλάσσης ἐκδίδοται καὶ ἐν αὐτῷ τελειοῦται. Ὁ δὲ Αἰδέσιος ἐπέμφθη εἰς Ἀλεξάνδρειαν τὴν [9] κατ' Αἴγυπτον τοῖς τοῦ χαλκοῦ μετάλλοις [10] ταλαιπωρούμενος [11], ἐπειδὴ τὸν ἄρχοντα Ἱεροκλέα τιμωρούμενον τοὺς χριστιανοὺς ἐθεάσατο, ἀφειδήσας δὲ [6] αὐτοῦ [12], | (f. 188v) αὐτοχειρὶ τοῦτον ἔτυψε· ὅθεν πολλὰ βασανισθεὶς καὶ αὐτὸς ἐν τῷ τῆς θαλάσσης βυθῷ ῥιφεὶς τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο [13].

— [16] ἑαυτῆς S. — [17] *supplevi, om.* S.

4. — [1] ἁγίων μαρτύρων καὶ αὐταδέλφων Ἀ. καὶ Α. Mc. — [2] καιροὺς Mc. — [3] (ἐκ - Λυδίας) ἀδελφοὶ γνήσιοι τῆς Λυδῶν ὁρμώμενοι χώρας Mc. — [4] Βηρρυτὸν S. — [5] καὶ *add.* Mc. — [6] *om.* Mc. — [7] κ. πρῶτος Mc. — [8] ὡρᾶτο ὅλως Mc. — [9] (ἐπέμφθη - τὴν) ἐν Ἀλεξανδρείᾳ τῇ Mc. — [10] μετάλοις S. — [11] ταλαιπωρούμενου S. — [12] ἑαυτοῦ Mc. — [13] (αὐτοχειρὶ - ἐκομίσατο) αὐτοχείρως τὸν ἄρχοντα ἔτυπτε, διὸ καὶ πολλαῖς βασάνοις ἐκδοθεὶς καὶ ἐν τῇ θαλάσσῃ ῥιφῆς τελειοῦται τὸν τοῦ μαρτυρίου στέφανον κομισάμενος Mc.

---

April. 1. φυλακῇ διάγειν μέχρι τέλους κατακριθεὶς διὰ τοῦ ἀλιτηρίου βασιλέως ἐκείνου. Βασιλεύσας δὲ μετ' ἐκεῖνον Μιχαὴλ ὁ Τραυλὸς καὶ αὐτὸς τῆς βδελυρᾶς θρησκείας αὐτοῦ ὑπάρχων, ἐξαγαγὼν τὸν ἅγιον τῆς φυλακῆς καὶ πολλὰ δι' ἑαυτοῦ καὶ δι' ἑτέρων κολακεύσας καὶ ἀπειλήσας ἤνυε πλέον οὐδέν. Διὸ καὶ ἐν Ἀφουσίᾳ τῇ νήσῳ τοῦτον ἐξορίσας, ἐν ἀσφαλείᾳ ἐφύλαττεν. Ὁ δὲ ἅγιος πάντα γενναίως φέρων ηὐχαρίστει τῷ Θεῷ. Χρονίσας δὲ ἐν τῇ ἐξορίᾳ καὶ πλεῖστα ἀγωνισάμενος καὶ σημείων αὐτουργὸς ἐκεῖσε γενόμενος, ἀπῆλθε πρὸς Κύριον. — Οἱ ἅγιοι Βασιλείδης καὶ Γερόντιος ξ. τ. — Ὁ δίκαιος Ἄχαζ ἐν εἰρήνῃ τ. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα νέα κυριακή, ὅτε τῶν θυρῶν κεκλεισμένων ἐπέστη τοῖς μαθηταῖς ὁ Χριστός. — **Mv** : 1. — Μακαρίου. — Γεροντίου καὶ Βασιλείδους. — Ἄχαζ. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κτλ. — **Mr** : 1.

April. 2. SYNAXARIA SELECTA. **H** : 4. 3. — **P** : 4. 3. — **D** : 1. 3. 4. — **Da** : 1. 3. 4. — **Db** : 4. — **K** : 4. 1. 3. — **N** : 4. 3. 1. — **Bb** : 4. 3. — **Bc** : 4. 3. — **C** : 4. — **Cd** : 4. — **Ce** : 4. — **Cg** : 4 : Ἀπφιανοῦ καὶ Αἰδεσίου τῶν αὐταδέλφων. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Μαξιμιανοῦ, ἐκ μητρὸς ἀδελφοί, ἐκ τῆς Λυδίας χώρας ὁρμώμενοι. Κατὰ δὲ Βηρυτὸν γενόμενοι ὑπὸ τοῦ μάρτυρος Παμφύλου διδαχθέντες τὸν χριστιανισμόν, τῷ ἄρχοντι παρέστησαν Οὐρβανῷ. Καὶ ὁ μὲν Ἀπφιανὸς κηρύξας τὸν Χριστὸν παρρησίᾳ, πληγαῖς κατὰ τοῦ προσώπου τύπτεται καὶ τοῖς τῶν στρατιωτῶν ποσὶ λακτίζεται καὶ ἐλαίῳ χρισθεὶς τοὺς πόδας πυρὶ καταφλέγεται καὶ κρεμασθεὶς ὠγκώθη καὶ διερράγη ἐκ τῶν λακτισμάτων. Ἐπιμένων δὲ τῇ εἰς Χριστὸν ὁμολογίᾳ, τῷ βυθῷ τῆς θαλάσσης ἐκδίδοται καὶ ἐν αὐτῷ τελειοῦται. Ὁ δὲ Αἰδέσιος ἐπέμφθη εἰς Ἀλεξάνδρειαν, καταδικασθεὶς τιμωρεῖσθαι ἐν τοῖς τοῦ χαλκοῦ μετάλλοις. Καὶ ἐπειδὴ τὸν ἄρχοντα Ἱεροκλέα τιμωροῦντα τοὺς χριστιανοὺς εἶδεν, αὐτοχειρὶ τὸν ἄρχοντα ἔτυψεν· ὅθεν πολλὰ βασανισθεὶς καὶ αὐτὸς ἐν τῷ τῆς θαλάσσης βυθῷ ῥιφεὶς τελειοῦται. — **R** : 4. 1. — Θεοδοσίας τῆς ἐν Καισαρείᾳ (Mai 29[1]). — **Ra** : 1. 4. 3. — **Rb** : 1. 3. 4. — **Rc** : 1. 3. 4. — **Mc** : 1 : Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Τίτου. Οὗτος ὁ μακάριος καὶ ἅγιος πατὴρ ἡμῶν Τῖτος ἐκ νεαρᾶς ἡλικίας τὸν Χριστὸν ἀγαπήσας, ἀπελθὼν εἰς κοινόβιον ἀπετάξατο· καὶ τοσοῦτον ἐξέδωκεν ἑαυτὸν εἰς ταπείνωσιν καὶ ὑπακοὴν ὡς καὶ ὑπερβῆναι μὴ μόνον τὴν ἀδελφότητα ἀλλὰ καὶ πάντα ἄνθρωπον. Ποιμὴν δὲ τῶν λογικῶν τοῦ Χριστοῦ προβάτων γεγονώς, τοσαύτην ἀγάπην καὶ πραότητα καὶ συμπάθειαν εἶχεν ὡς ἄλλος οὐδεὶς ἐν ἀνδράσι. Καθαρὸς δὲ τῇ ψυχῇ καὶ τῷ σώματι ἐκ νεαρᾶς ἡλικίας ἐφυλάχθη ὡς ἄγγελος Κυρίου. Διὸ καὶ θαυματουργὸς γενόμενος, στήλην [1] ἔμψυχον καὶ εἰκόνα ἀπαράγραπτον καταλιπὼν τοὺς μαθητὰς καὶ συνασκητὰς αὐτοῦ ἀπῆλθε πρὸς Κύριον. — 2. — Θεοδοσίας τῆς παρθένου. — 3. — **Mv** : 1. 4. — Τῆς ἁγίας παρθενομάρτυρος Θεοδώρας [2]. — 3. — **Mr** : 1.

[1] στύλην Mc. — [2] *lege* Θεοδοσίας.



## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

April. 3. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν [1] Νικήτα ἡγουμένου [2] τοῦ Μηδικίου. Οὗτος ποθήσας τὴν ἐγκράτειαν καὶ παρθενίαν ηὐλίσθη ἐν ὄρεσι πάσης ἀρετῆς καὶ ἐτράφη ἐν πόλει τῆς ἡσυχίας [3] καὶ ὑψώθη ἀμφοτέρωθεν· λόγῳ δὲ θείῳ κυβερνώμενος, θεῖος οἰκονόμος ἐδείχθη καὶ πιστὸς ἱερεύς. Ἐξωσθεὶς δὲ τῆς ποίμνης [4] παρὰ τῶν εἰκονομάχων ὡς τῶν θείων εἰκόνων προσκυνητής, ἐξορίαις πικραῖς ὑποβάλλεται καὶ ἐν πᾶσιν εὐχάριστος ἀναφανεὶς καὶ δόκιμος ἀγωνιστὴς ἅπασαν ψυχόλεθρον ἀπάτην τῶν θεομάχων κατέπτυσε, καὶ πολλοὺς τῇ προτροπῇ καὶ ταῖς παραινέσεσιν αὐτοῦ μάρτυρας ἀπειργάσατο· ὅθεν καὶ διπλᾶς τὰς λαμπάδας ἀνάψας τῆς ὁμολογίας [5] καὶ [6] ἀσκήσεως, διπλοῦς καὶ τοὺς στεφάνους ἐκ χειρὸς Κυρίου ἐδέξατο [7] πρὸς αὐτὸν μεταστάς [8].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ ὑμνογράφου. Οὗτος ὑπῆρχεν ἐκ τῆς Σικελῶν ἐπαρχίας γεννητόρων Πλωτίνου [1] καὶ Ἀγάθης. Πορθηθείσης δὲ τῆς τούτου πατρίδος, σὺν μητρὶ καὶ ἀδελφοῖς διαφυλαχθεὶς ἦλθεν εἰς Πελοπόννησον [2]· ἐκεῖθεν ἀπάρας ἦλθεν εἰς Θεσσαλονίκην. Πεντεκαιδέκατον ἔτος ἄγων ἀποκείρεται ἔν τινι μοναστηρίῳ· καὶ ἦν διερχόμενος πᾶσαν τὴν θείαν γραφήν, ὅθεν καὶ τὴν τοῦ πρεσβυτέρου χειροτονίαν δέχεται καὶ μετὰ Γρηγορίου τοῦ Δεκαπολίτου τὴν Κωνσταντινούπολιν [3] καταλαμβάνει. Ἐπεὶ δὲ ἡ τῶν εἰκονομάχων αἵρεσις αὖθις ἀνεφάνη, Λέοντος τοῦ δυσσεβοῦς Ἀρμενίου <βασιλεύοντος [4]>, παρεκάλεσαν τὸν ἅγιον Γρηγόριον οἱ ὀρθόδοξοι στεῖλαι εἰς Ῥώμην τὸν Ἰωσήφ, μηνύσοντα τοῖς ἐκεῖσε τὸ συμβάν. Καὶ ὁ μὲν ἐξέπλει, πλοῖα δὲ ἐπιστάντα βαρβαρικὰ δεσμώτην εἰς Κρήτην ἀπήγαγον. Ἐν μιᾷ δὲ τῶν νυκτῶν ἐπιστὰς αὐτῷ τις ἱεροπρεπὴς τὴν ἰδέαν· « Ἐκ Μύρων » ἐνταῦθα πάρειμι » ἔφη, καὶ βιβλίον κρατῶν διεκελεύετο τοῦτο λαβεῖν. Ὁ δὲ λαβὼν ἀνεγίνωσκε καὶ ἔψαλλε· « Τάχυνον ὁ οἰκτίρμων καὶ σπεῦσον » ὡς ἐλεήμων εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι » βουλόμενος. » Καὶ τὸ ᾀδόμενον ἔργον πρωΐας ἐγένετο· τότε γὰρ τοῦ τῆς αἱρέσεως προμάχου Θεοφίλου ἐξ ἀνθρώπων γενομένου, ἡ τοῦ Θεοῦ ἐκκλησία τῶν σεπτῶν εἰκονισμάτων | (f. 189) ἀπείληφε τὴν εὐπρέπειαν· καὶ ὁ τίμιος Ἰωσὴφ ἐλευθερωθεὶς τῆς εἱρκτῆς πρὸς τὴν Κωνσταντινούπολιν διεσώζετο. Ἐν δὲ τοῖς ὁρίοις τῆς Θεσσαλονίκης γενόμενος, λείψανον εὑρὼν τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου [5]

1. — [1] καὶ ὁμολογητοῦ *add.* Mc. — [2] τῆς μονῆς *add.* Mc. — [3] ἐν πόλει τῆς ἡσ. ἀνετράφη Mc. — [4] τῆς ποίμνης οὖν ἐξωσθεὶς Mc. — [5] τῆς ὁμολογίας ἀνάψας Mc. — [6] τῆς *add.* Mc. — [7] δεξάμενος Mc. — [8] ἀνεπαύσατο *add.* Mc.

2. — [1] D, Ra, Πλουτίνου S, Rc. — [2] Πελοπόνησον S. — [3] τῇ Κωνσταντινουπόλει S. — [4] *om.* S. — [5] *in marg.* ἐν ἄλλοις συναξαρίοις λέγεται τοῦ Βαρθολομαίου λείψανον S, *et recte quidem.*

---

April. 3. SYNAXARIA SELECTA. **H** : Θεοδοσίας τῆς ἐκ Τύρου (Mai 29[1]). — Ἀγάπης, Εἰρήνης, Χιονίας (April. 16[1]). — 3 (Γαλύκου, Βυδινίου, Δίου). — 4 (Ἀλερίου). — 1. — **P** : Ἀγάπης, Εἰρήνης, Χιονίας. — 3 (τοῦ ἁγίου μάρτυρος Γλαυκοῦ Βιθυνίου). — 1. — **D** : 1. 2 : Ἰωσὴφ τοῦ ὑμνογράφου. Οὗτος τῆς Σικελῶν ἐπαρχίας ὑπῆρχεν, γεννητόρων Πλωτίνου καὶ Ἀγάθης, ἐπιεικὴς καὶ εὐσεβὴς τὸν τρόπον, τῇ μελέτῃ τῶν θείων γραφῶν σχολάζων. Ἁλούσης δὲ τῆς πατρίδος ὑπὸ τῶν Ἀγαρηνῶν, οὗτος σὺν μητρὶ καὶ ἀδελφοῖς πρὸς τὴν τοῦ Πέλοπος ἀνήχθη, κἀκεῖθεν πρὸς τὴν Θεσσαλονίκην, ἔνθα τὸν μοναστὴν ὑπέρχεται βίον καὶ πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἀποδύεται. Κλίνη γὰρ αὐτῷ ἔδαφος κῳδίῳ καλυπτόμενον, χιτὼν ἀφελής, τροφὴ ἄρτος βραχύς, ποτὸν ὕδωρ, στάσις πάννυχος, γονάτων κατάκλισις συνεχής, ὕμνοι ἐπὶ στόματος, ἐργόχειρον καλλιγραφία, ἡ ταύτης σχολὴ ἀνάγνωσις τῶν θείων γραφῶν. Ἐκ τούτων τοιοῦτος γέγονεν σεμνός, μέτριος, πρᾶος, ἁπλοῦς, ἀκέραιος καὶ τὰ τούτοις ἑπόμενα· τούτοις πλουτῶν, χειροτονεῖται πρεσβύτερος. Χρόνος οὐχὶ συχνὸς καὶ μετά τινος Γρηγορίου, ᾧ [1] τοῦ Δεκαπολίτου ἦν ἡ προσωνυμία, ἀνδρὸς ἐλλογίμου, τῇ Κωνσταντινουπόλει ἐπιδημεῖ [2]· μεθ' οὗ τῷ ναῷ τοῦ ἁγίου ἱερομάρτυρος Ἀντίπα ἐγκλείεται, σκληραγωγίαις καὶ ἀσκητικοῖς ἱδρῶσιν ἐπαγαλλόμενοι. Ἐπεὶ δὲ ἡ χριστομάχος αἵρεσις ἀνεφύη τῶν εἰκονομάχων, καὶ ὁ μακάριος ὡς εἰς Ῥώμην ἀπέπλεεν, τοῦτό τινων εὐσεβῶν αὐτῷ ἀξιωσάντων, νῆες ἐπιστᾶσαι βαρβαρικαὶ δεσμώτην τῇ Κρητῶν ἀπήγαγον καὶ τῇ φυλακῇ ἐναπέθεντο. Πάντας ἐδίδασκε τὴν σωτήριον ὁδόν, καὶ πολλοὺς ἐκ τῶν τοῦ διαβόλου χειρῶν ἐλυτρώσατο. Ἔνθα ἱεροπρεπὴς ἀνήρ τις αὐτῷ ἐπιστὰς ἐκ Μύρων· « Ἐνταῦθα πάρειμι, ἔφη, ἀλλὰ » δέξαι ταύτην τὴν κεφαλίδα. » Ὁ δὲ λαβὼν ὁμοῦ τε ἀνεγίνωσκε καὶ ἔψαλλεν· « Τάχυνον, ὁ οἰκτίρμων, » καὶ σπεῦσον ὡς ἐλεήμων εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος. » Καὶ τὸ ᾀδόμενον ἔργον πρωΐας ἐγένετο. Ὅτε γὰρ τῆς αἱρέσεως πρόμαχος Θεόφιλος ἐξ ἀνθρώπων γενόμενος, ἡ τοῦ Θεοῦ ἐκκλησία τῶν σεπτῶν εἰκονισμάτων ἀπείληφε τὴν εὐπρέπειαν, καὶ ὁ τίμιος Ἰωσὴφ ἐλευθερωθεὶς τῆς εἱρκτῆς πρὸς τὴν Κωνσταντινούπολιν διεσώζετο. Ἐπεὶ δὲ λείψανον ἱερώτατον τοῦ μεγάλου ἀποστόλου Βαρθολομαίου παρά τινος λαβὼν εἶχε, καὶ ναὸν ἐπ' ὀνόματι τούτου σύναμα τῷ κλεινῷ Γρηγορίῳ ἐδείματο, ἐν φροντίδι πλείονι καθεστήκει, καὶ μελῳδήμασι τὰς αὐτοῦ πανηγύρεις κατακοσμεῖ, καὶ δάκρυσι καὶ στεναγμῷ ἠξίου τοῦ ποθουμένου τυχεῖν· καὶ ἐπέτυχεν. Ὁρᾷ γὰρ νύκτωρ ἄνδρα τινὰ φοβερὸν ἐν ἀποστολικῷ τῷ σχήματι ἀπὸ τῆς ἱερᾶς τραπέζης εὐαγγέλιον ἀράμενον καὶ τοῖς στέρνοις ἐπιθέντα καὶ εὐλογίας αὐτὸν ἀξιώσαντα. Τοῦτο δέ ἐστιν ἡ ἀπαρχὴ τοῦ θείου χαρίσματος· οὕτω γὰρ ἀπόνως καὶ μετ' [3] εὐκολίας τὰς ἱερὰς μελῳδίας τοῖς αἰτουμένοις παρεῖχεν, ὡς νομίζειν τινὰς μὴ ἐξ ἑαυτοῦ ταῦτα γεννᾶν,

[1] ὃς D. — [2] ἐπιδημῶν D. — [3] *corr. prius* μ *solum.*

April. 3. ἔλαβε, καὶ ναὸν ἐπ' ὀνόματι τούτου ἐδομήσατο καὶ ἐν φροντίδι πλείονι καθεστήκει μελῳδήμασι τὰς αὐτοῦ πανηγύρεις κατακοσμῆσαι <καὶ [6]> σὺν δάκρυσι καὶ στεναγμοῖς ἠξίου τοῦ ποθουμένου τυχεῖν· τοιγαροῦν καὶ ἐπέτυχεν. Ὁρᾷ γὰρ νύκτωρ ἄνδρα τινὰ φοβερὸν ἐν ἀποστολικῷ τῷ σχήματι ἀπὸ τῆς ἱερᾶς τραπέζης εὐαγγέλιον ἀράμενον καὶ τοῖς στέρνοις αὐτοῦ ἐπιθέντα [7] καὶ εὐλογίας αὐτὸν ἀξιώσαντα. Καὶ ἔκτοτε ἔλαβε τὸ χάρισμα τῆς ὑμνῳδίας, καὶ οὕτως ἀπόνως καὶ μετ' εὐκολίας τὰς ἱερὰς μελῳδίας ἅπασαν τὴν ἐκκλησίαν ἐφώτισεν ἐν ὕμνοις. Ἐντεῦθεν τοῖς ἁπάντων στόμασιν ᾄδεται καὶ πᾶσι ποθεινὸς καὶ ἐπέραστος οὐ μόνον ἰδιώταις καὶ ἄρχουσιν, ἀλλὰ καὶ αὐτοῖς τοῖς βασιλεῦσι γίνεται. Καὶ πολλὰ ὑπὸ τῆς ὀρθοδόξου πίστεως ἀγωνιζόμενος, ἐξωρίσθη εἰς Χερσῶνα παρὰ τοῦ δυσσεβοῦς Ἀρμενίου [8], Βάρδα τοὔνομα καταδικασθείς, καλῶς γε τοῦτον διελεγξάμενος. Καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ ἀναρρυσθεὶς [9] ἐκ Χερσῶνος παρὰ τῆς βασιλίδος Θεοδώρας, τῆς ποιησάσης τὴν ὀρθοδοξίαν, καὶ τῶν ἱερῶν σκευῶν τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας φύλαξ γενόμενος, Ἰγνατίου πατριαρχοῦντος τοῦ θείου, οὗ μετὰ τὴν ἐκδημίαν παρὰ Φωτίου στέργεται καὶ ἐκθειάζεται· οὗτος γὰρ μετὰ τοῦτον πατριάρχης ἀναδείκνυται. Ἐν τούτοις καλῶς διαρκέσας καὶ ὁσίως καὶ ἀκάκως πολιτευσάμενος ἀνεπαύσατο ἐν Κυρίῳ. Λέγεται γὰρ <ὅτι [6]> ἡ ἁγία αὐτοῦ ψυχὴ ὀψικευομένη παρὰ τῶν ἁγίων μαρτύρων καὶ ἀγγέλων ἀνῆλθεν ἐν τοῖς οὐρανοῖς. Ἄνθρωπός τις ἔχων δοῦλον χρήσιμον, ἐπείπερ ὁ δοῦλος ἔφυγεν, ἀπελθὼν ὁ κύριος αὐτοῦ εἰς τὸν ἅγιον Θεόδωρον τὸν Φανερωτὴν παρεκάλει αὐτὸν φανερῶσαι τὸν δοῦλον αὐτοῦ. Προσμείνας δὲ ἱκανῶς καὶ μηδὲν μαθὼν ἐβούλετο ἀναχωρῆσαι. Ὄρθρου δὲ ὄντος καὶ λόγου ψυχωφελοῦς ἀναγινωσκομένου μικρὸν ἀφύπνωσε, καὶ ὁρᾷ τὸν μάρτυρα λέγοντα αὐτῷ [10]· « Ἵνα τί περίλυπος εἶ; τοῦ » ποιητοῦ Ἰωσὴφ κοιμηθέντος ταύτῃ τῇ νυκτὶ » ὀψικεύθη ἡ ψυχὴ αὐτοῦ παρὰ πάντων ἡμῶν, » οὓς κανόσιν καὶ ὕμνοις ἐτίμησεν, καὶ ἐσυνο» ψίσθη εἰς Θεόν. Καὶ νῦν πάρειμι πρὸς σέ. Τοῦ » λοιποῦ τοίνυν δηλῶσοι [11]· ἄπελθε κατὰ τόνδε τὸν » τόπον — τοὔνομα προσειπὼν — καὶ εὑρήσεις » ὃν ἐπιζητεῖς οἰκέτην σου. »

3. | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Γαλύκου, Βιθυνίου καὶ Δίου [1]>. f. 189v.

4. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἠληρίου τοῦ θαυματουργοῦ.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Δ'.

April. 4. 1. Ἄθλησις [1] τῶν ἁγίων μαρτύρων Θεοδούλου ἀναγνώστου [2] καὶ Ἀγαθόποδος διακόνου [1]. Τούτων ὁ μὲν Θεόδουλος νεώτερος ἦν, ὁ δὲ Ἀγαθόπους διάκονος [2], ἀμφότεροι δὲ ὑπῆρχον [3] ἐκ πόλεως Θεσσαλονίκης. Χριστιανοὶ δὲ ὄντες παρέστησαν [4] Φαυστίνῳ τῷ ἄρχοντι· καὶ μὴ πεισθέντες θῦσαι

— [6] *om.* S. — [7] ἐπιτεθέντα S. — [8] ὑπὸ *add.* S. — [9] ἀναρυσθεὶς S. — [10] αὐτὸν S. — [11] δηλώσει S.

3. — [1] *om. hic* S, *addunt* H, D, Da, Db, K, C, Cg, Rc, Mc *etc. et* S *ad diem Aprilis 29.*

1. — [1] *om.* Mc. — [2] τῆς πρεσβυτικῆς ἐπιβεβηκὼς ἡλικίας Mc. — [3] ὑπῆρχον δὲ ἀμφότεροι Mc. — [4] (χριστιανοὶ - παρέστησαν) διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν συμπαρέστησαν Mc.

---

April. 3. ἀλλ' ἐκμανθάνειν ἀλλαχοῦ πρότερον καὶ ἀποστοματίζειν καὶ οὕτως τοῖς αἰτουμένοις παρέχειν. Τὸ δὲ μὴ τοιαύτην ἔχειν τὴν ὑπόθεσιν ἀλλ' ἐκ θείου χαρίσματος, καθὰ προέφημεν, ταύτας προσφέρειν πεπίστευται. Ἐντεῦθεν τοῖς ἁπάντων στόμασιν ᾄδεται καὶ πᾶσι ποθεινὸς καὶ ἐπέραστος, οὐ μόνον ἰδιώταις καὶ ἄρχουσιν, ἀλλὰ καὶ αὐτοῖς βασιλεῦσι γίνεται· εἰ καὶ ὑπερορίᾳ παρὰ Βάρδα καταδικάζεται, καλῶς γε τοῦτον διελεγξάμενος [4], ἀλλ' εὐθὺς ἀνακληθεὶς τῶν ἱερῶν σκευῶν τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας τὴν φυλακὴν πιστεύεται, Ἰγνατίου πατριαρχοῦντος τοῦ θείου. Οὗ μετὰ τὴν ἐκδημίαν παρὰ Φωτίου στέργεται καὶ ἐκθειάζεται· οὗτος γὰρ μετὰ τοῦτον πατριάρχης ἀναδείκνυται. — Ἀγάπης, Εἰρήνης καὶ Χιονίας. — Θεοδοσίας τῆς παρθένου. — 3. 4 (Ἡλιροῦ). — **Da** : 1. 2. — Θεοδοσίας. — Ἀγάπης κτλ. — 3. 4 (Ἡριλίου). — **Db** : 1. 2. — Θεοδοσίας. — Ἀγάπης κτλ. — 3. 4 (Ἡλυρίου). — **K** : 1. 2. — Θεοδοσίας. — Ἀγάπης. — 3. 4 (Ἱλαρίου). — **N** : 1. 2. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Ζωσιμᾶ τοῦ τὸ λείψανον τῆς ὁσίας Μαρίας ἐν τῇ ἐρήμῳ κηδεύσαντος. — **Bb** : Θεοδοσίας. — Εἰρήνης, Ἀγάπης καὶ Χιονίας. — **Bc** : Θεοδοσίας. — Εἰρήνης κτλ. — 1. 2. — **C** : Θεοδοσίας. — Εἰρήνης κτλ. — 1. 2. 3 (Γαλκίου, Βυθινίου καὶ Δίου). — 4 (Ἱλαρίου). — **Cd** : Θεοδοσίας. — Εἰρήνης κτλ. — 1. 2. — **Ce** : Θεοδοσίας. — Εἰρήνης κτλ. — 1. 2. — **Cg** : Θεοδοσίας τῆς παρθένου. Ἡ ἁγία μάρτυς Θεοδοσία ἦν ἀπὸ τῆς πόλεως Τύρου. Ὀκτωκαιδέκατον δὲ ἄγουσα τῆς ἡλικίας χρόνον παρίσταται Οὐρβανῷ τῷ ἄρχοντι Παλαιστίνης· καὶ ἐρωτηθεῖσα ὡμολόγησε τὸ ὄνομα τοῦ Χριστοῦ. Διὸ τιμωρεῖται κατὰ τῶν πλευρῶν καὶ τῶν μαζῶν καὶ μὴ πεισθεῖσα προσκυνῆσαι τοῖς εἰδώλοις, ἐρρίφη ἐν τῇ θαλάσσῃ· καὶ οὕτως παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ. — Εἰρήνης κτλ. — 1. 2. 3. 4 (Ἱλαρίου). — **R** : 1. 2. — **Ra** : 1. 2 (= D, et add. : τῇ δὲ τοιαύτῃ φυλακῇ ἀμέμπτως ὑπουργήσας καὶ ὕμνους ὅτι πλείστους ἐκθέμενος πάσης κατανύξεως καὶ ὠφελείας τῇ τοῦ ἁγίου Πνεύματος χάριτι, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησεν). — **Rb** : 1. 2. — **Rc** : 1. 2. 3. 4 (Ἱλαρίου). — **Mc** : 1. 2. — Ἐλπιδιφόρος ξ. τ. — 3 (Δίων κεράμῳ τὴν κεφαλὴν τρωθεὶς τ. — Βυθόνιος ἐν τῇ θαλάσσῃ βληθεὶς τ. — Γάλυκος ὑπὸ θηρίων δηχθεὶς τ.). — **Mv** : 1. 2. — Ἐλπιδιφόρου. — 3 (Δίου ... Βυθονίου ... Γαλίκου). — 4 : Ἰλλυριοῦ τοῦ ἐν τῷ ὄρει τοῦ Μυρσιωνᾶ [5]. — **Mr** : 1.

April. 4. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1 : Θεοδούλου καὶ Ἀγαθόποδος. Ὁρμώμενοι ἐκ πόλεως Θεσσαλονίκης, Καπίτωνα καὶ Μητρόδωρον ἔχοντες ἀδελφούς, καὶ ὁ μὲν Θεόδουλος νεώτερος ἦν

— [4] δὲ τοῦτο διελεγξαμένῳ D. — [5] *legendum* Μυρσινῶνος.



τοῖς εἰδώλοις, προσδεθέντες λίθοις τῷ βυθῷ τῆς θαλάσσης ῥίπτονται [5], καὶ οὕτως ἐν Χριστῷ τελειοῦνται. Ἐδηλώθη δὲ αὐτοῖς πρὸ τοῦ [6] τέλους δι' ἀποκαλύψεως τὸ ἐσόμενον. Ἔδοξαν γὰρ ἀμφότεροι πλοίου ἐπιβεβηκέναι· οὗτινος ἐπὶ τοῦ [7] κλύδωνος διαλυθέντος [8] καὶ τῶν συμπλεόντων ἀπολωλότων, αὐτοὶ μόνοι διασωθῆναι τοῦ ναυαγίου καὶ πρὸς ὄρος ὑψηλὸν [9] ἀνελθεῖν, δηλοῦντος [10] τοῦ ὁράματος τὸ διὰ θαλάσσης πάθος καὶ τὴν πρὸς οὐρανοὺς [11] πορείαν αὐτῶν. Τοῦτο δὲ καὶ πρὸ τῆς κατασχέσεως τῷ ἁγίῳ Θεοδούλῳ διὰ τῆς περιβολῆς τοῦ δακτυλίου καθ' ὕπνον [12] δεδήλωται· οἱονεί τινος ἀρραβῶνος [13] δοθέντος αὐτῷ τῆς μελλούσης ἕνεκεν μαρτυρείας. April. 4.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

April. 5. 1. Μνήμη τῆς ὁσίας καὶ θαυματουργοῦ μητρὸς ἡμῶν Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ.

2. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Κλαυδιανοῦ, Διοδώρου καὶ τῶν σὺν αὐτοῖς.

3. Καὶ τῆς ἁγίας μάρτυρος Φερφούθης [1] τῆς ἀειπαρθένου [2] καὶ τῆς ἀδελφῆς αὐτῆς καὶ τῆς [3] παιδίσκης. Αὗται ὑπῆρχον ἐπὶ Σαβωρίου [4] βασιλέως ἐν Περσίδι [5], ἀδελφαὶ τυγχάνουσαι τοῦ ἁγίου Συμεὼν τοῦ ἐπισκόπου [6], μετὰ χιλίων ἑτέρων παρὰ Πέρσαις μαρτυρήσαντος. Τῆς οὖν βασιλίσσης ἔκ τινος συμβάσης νόσου μαλακιζομένης καὶ ἀρρωστούσης, εἰς διαβολὴν κατασκευῆς φαρμάκων κατέστησαν· ὅθεν συλληφθεῖσαι ἄγονται πρὸς Μαπτὰν [7] τὸν ἀρχιμάγον καὶ τὰς αἰτίας τῶν ἐγκαλουμένων ἀπολυόμεναι [8] χριστιανὰς ἔλεγον ἑαυτάς, χριστιανοῖς δὲ μὴ θεμιτὸν εἶναι τοιαῦτα δημιουργεῖν. Διπλῆν δὲ ἤδη δεξάμεναι τὴν κατηγορίαν [9], προστεθείσης τῇ φαρμακίᾳ τῆς θρησκείας, τὴν θανατηφόρον ψῆφον ἔλαβον· καὶ ἐκταθεῖσαι πάλοις κατὰ τοῦ [3] τραχήλου καὶ τῶν ποδῶν πρίοσι διῃρέθησαν καὶ ξύλοις ἀνεσκολοπίσθησαν μετὰ τὴν διαίρεσιν· καὶ διῆλθεν ἐπ' αὐτῶν ἡ βασίλισσα [10]. Οὕτω γὰρ οἱ διαβάλλοντες εἶπον [11] μὴ ἂν ἄλλως ταύτην ὑγιασθῆναι [12], εἰ μὴ διὰ τῶν νεκρῶν σωμάτων τῶν ἁγίων [13] παρέλθοι.

— [5] (προσδεθέντες - ῥίπτονται) ἀσάλευτον δὲ τὴν εἰς Χριστὸν πίστιν φυλάξαντες τῷ βυθῷ τ. θ. ἐκδίδονται Mc. — [6] *om.* Mc. — [7] (ἐπιβεβηκέναι - τοῦ) προβεβηκέναι νηὸς ἧς ἐκ τρικυμίας Mc. — [8] διαρεθείσης Mc. — [9] οὐρανόμηκες Mc. — [10] οἶμαι *add.* Mc. — [11] οὐρανὸν Mc. — [12] ὕπνους Mc. — [13] ἀραβῶνος S.

3. — [1] Mc *ad diem aprilis 4*, Φερφοῦθις S. — [2] τῆς ἀειπαρθένου *om.* Mc. — [3] *om.* Mc. — [4] Mc, Σαβώρου S. — [5] ἐν Περσίδη S, Περσῶν Mc. — [6] τοῦ *add.* Mc. — [7] Πάπαν Mc. — [8] ἀποδυόμεναι Mc. — [9] (διπλῆν - κατηγορίαν) τὴν κατηγορίαν διπλῆν ἤδη δεξάμεναι Mc. — [10] καὶ οὕτω τὴν ἴασιν ἔλαβεν Mc. — [11] εἶπον οἱ διαβάλλοντες Mc. — [12] ἰαθῆναι Mc. — [13] (τῶν ἁγίων) τούτων Mc.

---

April. 4. ἀναγνώστης, Ἀγαθόπους δὲ γηραιὸς διάκων. Ἄγονται τοίνυν διὰ τὴν εἰς Χριστὸν πίστιν Φαυστίνῳ ἄρχοντι Θεσσαλονίκης, καὶ τούτῳ μὴ πεισθέντες μετὰ πολλὰς βασάνους ῥίπτονται ἐν τῇ θαλάσσῃ· καὶ ῥιφθέντες [1] κηδεύονται ὑπὸ τῶν οἰκείων. — **D** : 1. — Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πλάτωνος ἡγουμένου τῶν Στουδίου. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — Θεοδοσίας τῆς παρθένου (Mai 29[1]). — Γαλύκου, Μιθυνίου καὶ Δίου (April. 3[3]). — Τοῦ ὁσίου Ἡλιρίου (April. 3[4]). — **Bb** : Νικήτα (April. 3[1]). — Ἰωσήφ (April. 3[2]). — **Bc** : 1. — **C** : 1. — **Cd** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — Γεωργίου ἐν τῷ Μαλαίῳ (April. 5[5]). — Κλαυδιανοῦ, Διοδώρου κτλ. (April. 5[2]). — **Ra** : Γεωργίου. — 1. — **Rb** : 1. — **Rc** : Γεωργίου. — 1. — **Mc** : 1. — Φερφούθης (April. 5[3]). — Πούπλιος ἐν εἰρήνῃ τ. — Πλάτων καὶ ἕτεροι δύο ἐν εἰρήνῃ τ. — Ζωσιμᾶ τοῦ κηδεύσαντος τὴν ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν. — **Mv** : 1. — Φερβούθης. — Πουπλίου. — Πλάτωνος. — Οἱ ὅσιοι τρεῖς Θεώνας, Συμεὼν καὶ Φορβῖνος ἐν εἰρήνῃ τ. — Γεωργίου. — Ζωσιμᾶ. — **Mr** : Γεωργίου. — Ἰωσὴφ τοῦ ὑμνογράφου (April. 3[2]). — 1.

April. 5. SYNAXARIA SELECTA. **H** : 3. 4. 6. 7. — **P** : 3. 6. 7. — **D** : 3. 6. 7. 5. 2. 4. — **Da** : 5. 2. 3. 4. — **Db** : 5. 2. 3. 4. — **K** : 5. 2. 3. 4. — **N** : 5. 3. 2 (Κλαυδίου, Διοδώρου, Οὐΐκτωρος, Παπίου, Νικηφόρου, Οὐϊκτωρίνου καὶ Σεραπίωνος). — **Bb** : Ἀγαθόποδος καὶ Θεοδούλου (April. 4[1]). — **Bc** : 3. — **C** : 4 (τῶν ἁγίων ρν'...). — 6. 7. 3 (Θερμούθης). — **Cd** : 4. 6. 7. — **Ce** : 4. 6. 7. — **Cg** : 4. 6. 7. 3. — **R** : 5. 1. 3. 4. — **Ra** : 3. 2 (Κλαυδίου, Δ., Οὐϊκτουρίνου, κτλ.). — **Rb** : 5. 3. 4 (τῶν ἁγίων εἴκοσι μαρτύρων). — 7. — **Rc** : Θεοδούλου ἀναγνώστου καὶ Ἀγαθόποδος διακόνου (April. 4[1]). — 2 (Κλαυδίου, Δ., Οὐϊκτουρίνου κτλ.). — 3 (Θερφούμης). — **Mc** : 2 (Κλαυδιανοῦ καὶ τῆς συνοδίας αὐτοῦ). — 1 : Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ. Αὕτη ἡ ὁσία Θεοδώρα ἐκ νεαρᾶς ἡλικίας τὸν Χριστὸν ποθήσασα ἀπετάξατο· καὶ εἰς κοινόβιον ἐλθοῦσα ἀπεκάρη καὶ τὰς ἀρετὰς πάσας ἐφύλαξεν, ὑφ' ἓν κατορθώσασα. Τοιαύτην δὲ ὑπακοὴν ἐκτήσατο καὶ τιμὴν πρὸς πάσας τὰς ἀδελφὰς καὶ πρὸς τὴν προεστῶσαν, ὅτι καὶ μετὰ θάνατον ἔδειξεν ὅτι ἦν ζῶσα. Καὶ γὰρ τὸν βίον αὐτῆς καθαρὸν καὶ ἀκίβδηλον φυλάξασα, ὡς ἔμψυχον στήλην αὐτὸν ταῖς ἀδελφαῖς κατέλιπε. Μετὰ δὲ χρόνον οὐκ ὀλίγον τῆς προεστώσης πρὸς Κύριον ἀπελθούσης, καὶ αὐτῆς καθαρᾶς καὶ πνευματικῆς οὔσης, γέγονε συνδρομὴ πρὸς τὴν κηδείαν αὐτῆς· ἦν γὰρ καὶ τῶν ἐπισήμων. Καὶ λαοῦ συναθροισθέντος εὐλαβῶν μοναχῶν καὶ ἐπισήμων ἀνδρῶν, γέγονε καθ' εἱρμὸν ἡ ἀκολουθία. Καὶ ἀνοιχθέντος τοῦ τάφου ἐν ᾧ ἡ ὁσία Θεοδώρα ἐναπέκειτο ἐπὶ χρόνον πολὺν πρὸς τὸ κατατεθῆναι τὴν προεστῶσαν πλησίον αὐτῆς, θαῦμα ἐξαίσιον γέγονε, τοῖς μὲν ὁρῶσιν ἔκπληξιν φέρον, τοῖς δὲ ἀκούουσι κατάνυξιν. Τοῦ τόπου γὰρ ἐπιτηδείου πρὸς θεωρίαν τυγχάνοντος, πάντων βλεπόντων, ἡ πρὸ πολλοῦ νεκρὰ κειμένη Θεοδώρα τῇ μητρὶ ὥσπερ ζῶσα, ὢ τοῦ θαύματος, συνέσφιγξεν ἑαυτὴν τόπον δοῦσα.

[1] ῥιφθέντων P.

April. 5. f. 190. 4. | Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων ἑκατὸν εἴκοσι μαρτύρων τῶν ἐν Περσίδι τελειωθέντων.

5. Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου τοῦ ἐν τῷ Μαλεῶν[1] ὄρει.

6. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Τερεντίου, Πομπίου, Μαξίμου, Ζήνωνος.

7. Καὶ τοῦ ἁγίου μάρτυρος Θέρμου καὶ τῆς ἀδελφῆς αὐτοῦ μετὰ τῆς παιδίσκης.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ϛ'.

April. 6. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐτυχίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ὑπῆρχε κατὰ τοὺς χρόνους Ἰουστινιανοῦ τοῦ μεγάλου, ἐκ τῆς Φρυγίας ὁρμώμενος, χωρίου Θείας Κώμης. Τραφεὶς δὲ παρὰ Ἡσυχίῳ πρεσβυτέρῳ, πάππῳ αὐτοῦ, θαύματα ποιοῦντι δι' ἀρετήν, ἐβαπτίσθη ἐν τῇ ἐκκλησίᾳ Αὐγουστουπόλεως[1] καὶ σκευοφύλαξ ἐγένετο τῆς αὐτῆς ἐκκλησίας· καὶ προσετέθη δι' ἀρετὴν καὶ γνῶσιν αὐτοῦ παρὰ τοῦ τότε Ἀμασείας προέδρου, καὶ παρ' αὐτοῦ γίνεται ἀναγνώστης, ὑποδιάκονος καὶ πρεσβύτερος. Τῆς δὲ πέμπτης συνόδου παρὰ Ἰουστινιανοῦ συγκροτουμένης, παρὰ τοῦ Ἀμασείας ἀπεστάλη εἰς τὸν τόπον αὐτοῦ· καὶ πολλὰ ἀνδραγαθήσας κατὰ τῶν αἱρετικῶν καὶ τούτους ἀποστομίσας, ἐξῆλθεν εἰς Ἀμάσειαν[2] εὐτυχῶς ὁ Εὐτύχιος. Καὶ μετὰ τελευτὴν τοῦ ἁγιωτάτου πατριάρχου Μηνᾶ ἐξ Ἀμασείας προκληθεὶς ἐγένετο πατριάρχης. Εἶτα τῆς αἱρέσεως τῶν ἀφθαρτοδοκητῶν[3] κρατούσης καὶ τοῦ βασιλέως ἀποκύψαντος τῇ αἱρέσει, αὐτὸς μὴ καταδεξάμενος καθαιρεῖται τοῦ θρόνου καὶ ἀπάγεται ἐν τῷ εἰς Ἀμάσειαν[4] μοναστηρίῳ, ποιήσας ἐν αὐτῷ τῇ ἀσκητικῇ καὶ ἡσυχίῳ διαγωγῇ ἔτη δώδεκα. Μετὰ δὲ θάνατον Ἰουστινιανοῦ κρατήσαντος Ἰουστίνου καὶ Τιβερίου τῆς βασιλείας, αὖθις ἐπὶ τὸν οἰκεῖον θρόνον ἀνάγεται καὶ τὸν ἐπικείμενον ὄλεθρον τῆς αἱρέσεως ἀφανίσας καὶ ἐπὶ χρόνοις εἴκοσι καὶ τέσσαρσιν καὶ μησὶν ἓξ μετὰ τὴν ἐκ τῆς ὑπερορίας ἐπάνοδον τὴν ἐκκλησίαν κατασχὼν πρὸς Κύριον ἐξεδήμησεν. Κατε-

5. — [1] Μαλαιῶν S *ad diem Mai 12*, Μαλεῶ Mc *ibid*.
1. — [1] *corr.* Αὐγουστοπόλεως, *prius* Αὐγουστόλεως S. — [2] Ἀμάσσειαν S. — [3] αὐταρτοδοκιτῶν S. — [4] Ἀμάσιαν S.

---

April. 5. Τοῦτο τὸ ἐξαίσιον θεασάμενοι πάντες ἐκπληττόμενοι ἀνεβόων τό· «Κύριε ἐλέησον.» Ἔκτοτε δὲ καὶ μέχρι τοῦ νῦν σημεῖα πολλὰ ὁ Θεὸς ἐκεῖσε πεποίηκε διὰ τῆς ὁσίας ταύτης Θεοδώρας· δαιμονῶντας γὰρ διαφόρους ἰάσατο, τυφλοὺς ὠμμάτωσε καὶ ἀσθενεῖς ἀναριθμήτους ἐθεράπευσεν. — Θεοδώρας καὶ Διδύμου (Mai 27[2]). — 7 : Θέρμος π. τ. ... αἱ ἅγιαι δύο μάρτυρες Κυρία καὶ Δουλίδα ξ. τ. — 6 : Πομπηῖος ξ. τ. ... Ζήνων πίσσαν χρισθεὶς καὶ εἰς πῦρ βληθεὶς καὶ δόρατι τρωθεὶς τ. — Μάξιμος καὶ Τερέντιος ξ. τ. — Αἱ ἅγιαι κόραι αἱ ἀπὸ Λέσβου ξ. τ. — **Mv** : 2 (Κλαυδίου, Διοδώρου, Οὐΐκτωρος, Οὐϊκτωρίνου, Παππίου, Σαραπίονος καὶ Νικηφόρου). — 1. — Θεοδώρας καὶ Διδύμου. — 7 (Θέρμου ... κυρίας καὶ δούλης). — 6 (Πομπηΐου ... Ζήνωνος ... Μαξίμου καὶ Τερεντίου). — Τῶν ἁγίων πέντε μαρτύρων νεανίδων τῶν ἀπὸ Λέσβου. — **Mr** : 2 (Κλαυδίου ... καὶ Νικηφόρου).

April. 6. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — Καὶ τῶν ἁγίων ρκ' μαρτύρων τῶν ἐν Περσίδι (April. 5[4]). — **D** : 1 : Εὐτυχίου[1] ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ μέγας ἀρχιερεὺς κατὰ τοὺς χρόνους ἦν Ἰουστινιανοῦ τοῦ μεγάλου ἐκ τῆς Φρυγῶν χώρας ὁρμώμενος ἐκ χωρίου Θείας Κώμης προσαγορευομένου· τραφεὶς δὲ παρὰ Ἡσυχίῳ[2] τῷ πρεσβυτέρῳ, ὄντι αὐτοῦ πάππῳ, διὰ θεοφίλειαν θαύματα ἐκτελεῖν καταξιωθέντι· καὶ βαπτισθεὶς παρ' αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ τῇ ἐν Αὐγουστουπόλει[3], ἐν ᾗ τὴν θείαν λειτουργίαν ὁ πάππος Εὐτυχίου[4] ἐπετέλει, καὶ τῶν ἱερῶν σκευῶν ἐποιεῖτο τὴν φυλακήν. Ἐπεὶ τὰ ἱερὰ ἐξεμελέτησε λόγια καὶ ἐπὶ βάθος γνώσεως προῆλθεν, μετεκλήθη παρὰ τοῦ Ἀμασείας[5] τηνικαῦτα προέδρου καὶ παρ' αὐτοῦ τὰς τρίχας κείρεται ἐν τῷ ναῷ τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Οὐρβικίου· εἶτα[6] διάκονος καὶ πρεσβύτερος χειροτονηθεὶς τὸ ἐν Ἀμασείᾳ συσταθὲν μοναστήριον παρὰ Μελετίου καὶ Σελεύκου τῶν ἀρχιερέων καταλαμβάνει, καὶ ἐν αὐτῷ τὸν μονήρη ὑποδύεται βίον· εἶτα καὶ ἀρχιμανδρίτης καθίσταται. Τῆς δὲ πέμπτης συνόδου παρὰ Ἰουστινιανοῦ τοῦ βασιλέως συγκροτουμένης καὶ τῶν πανταχόθεν ἀρχιερέων συγκαλουμένων, ἐπεὶ διά τινα συμβᾶσαν νόσον ὁ τῆς Ἀμασείας πρόεδρος τῆς ὁδοῦ κατατολμῆσαι ἀδύνατος ἦν, ὁ μακάριος Εὐτύχιος ἀποστέλλεται τὸν τόπον ἀναπληρώσων αὐτοῦ. Γενόμενος δὲ ἐν Κωνσταντινουπόλει καὶ τῆς αὐτοῦ ἀρετῆς καὶ συνέσεως πεῖραν δοὺς ἐν ταῖς καταντιθέσεσι τῶν αἱρετικῶν καὶ[7] ἀποκρίσεσι, καὶ λαμπρὸς φανεὶς ἐφ' οἷς τοὺς αἱρετικοὺς διήλεγξεν καὶ γραφικαῖς ἀποδείξεσι δεῖν τοὺς αἱρετικοὺς πάντας καὶ μετὰ τελευτὴν ἀναθεματίζεσθαι πιστωσάμενος, εἰς πόθον αὐτοῦ τὸν βασιλέα[8] ἐκίνησεν, ὡς καὶ τὸν μακάριον Μηνᾶν τὸν πατριάρχην εἰπεῖν ἐκ θείας ἀποκαλύψεως, ὡς αὐτὸς εἴη ὁ τούτου διάδοχος, καὶ μετ' οὐ πολὺ πρὸς Κύριον ἐκδημήσαντα, μεταπέμψασθαι τὸν βασιλέα ἐξ Ἀμασείας τὸν ὅσιον, καὶ ψήφῳ τῶν ἀρχιερέων καὶ παντὸς τοῦ τῆς ἐκκλησίας καὶ τοῦ τῆς πόλεως πληρώματος ἀναδεῖξαι ἀρχιερέα ταύτης τῆς λαμπρᾶς[9] μεγαλοπόλεως. Εἶτα τοῦ τῶν ζιζανίων σπορέως τὴν εὐστάθειαν καὶ κατάστασιν ὁρᾶν τῆς ἐκκλησίας μὴ φέροντος καὶ σαθροῖς δόγμασιν ὥσπερ τισὶ μηχαναῖς διασαλεῦσαι ταύτην πειρῶντος καὶ βλασφημεῖν τινας ἀναπείθοντος ὡς ἐν εὐσεβείας προσχήματι, ὅτι ἡ ἐκ τῆς ἁγίας παρθένου ἐν[10] τῷ Χριστῷ προσ-

[1] *in ras. hic et deinceps* D. — [2] S, Da, Εὐτυχίῳ D. — [3] Αὐγουστοπόλει D. — [4] Εὐτύχιος D, *prima manu*. — [5] Ἀμασίας D. — [6] εἶτα *corr. prius* εἶ D. — [7] καὶ *add. corr. supra lin.* D. — [8] (δεῖν ... καὶ μετὰ - βασιλέα) *corr. supra ras.* D. — [9] καὶ *add.* D, *sed corr. del.* — [10] ||:|| ἐν D.



τέθη δὲ τὸ ἅγιον αὐτοῦ λείψανον ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγίων Ἀποστόλων τῶν μεγάλων, κατὰ τὴν κρηπῖδα τῆς ἁγίας τραπέζης, ἔνθα Ἀνδρέου καὶ Τιμοθέου καὶ Λουκᾶ τὰ ἅγια κατάκεινται λείψανα. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. April. 6.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

April. 7. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ σημειοφόρου[1] Γεωργίου ἐπισκόπου Μιτυλήνης. Οὗτος ἐξ ἁπαλῶν ὀνύχων τὸν Χριστὸν[2] ποθήσας, τὸν μοναστὴν ὑπέρχεται βίον· πᾶσαν δὲ ἀρετὴν ἐξασκήσας, τὴν[3] ταπεινοφροσύνην ὡς οὐδεὶς ἄλλος[4] ἐκτήσατο. Ἐλεήμων δὲ | πάνυ γενόμενος, εἰς τὸν θρόνον Μιτυλήνης ἀνάγεται· εἰς ὃν καλῶς διαπρέψας καὶ τοὺς εἰκονομάχους[5] τῷ περιόντι τῆς σοφίας καταπλήξας καὶ τὴν ἰδίαν πλάνην ἐπιγνῶναι τούτους ποιήσας καί, ἐν σώματι τελῶν, διὰ τῆς ὑπερβαλλούσης[6] ἐγκρατείας ἀγγέλοις ἁμιλληθεὶς τοῦ βίου μεθίσταται, μυρία θαύματα ἐργασάμενος. Προέγνω ἐκ θείας ἀποκαλύψεως τὴν ἑαυτοῦ τελευτὴν διὰ θείου ἀστέρος, ταύτην δηλώσαντος οὐ μόνον αὐτῷ[7] ἀλλὰ καὶ πάσῃ τῇ αὐτοῦ ποίμνῃ. Πηγὰς δὲ θαυμάτων ἐκ τῶν αὐτοῦ λειψάνων τοῖς ποθοῦσι χαρισάμενος, πᾶσίν ἐστιν ἀξιέραστος[8]. (f. 190v.)

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Καλλιοπίου. Οὗτος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ τοῦ βασιλέως, υἱὸς Θεοκλείας τινὸς χριστιανῆς, ἐκ Πέργης τῆς Παμφυλίας. Τραφεὶς δὲ παρὰ τῇ μητρὶ εὐσεβῶς καὶ ταῖς θείαις ἐμμελετήσας γραφαῖς, διωγμοῦ ἐπικειμένου, αὐτόκλητος προσῆλθε, καὶ τὸ τοῦ Χριστοῦ ὄνομα κηρύξας δεσμεῖται τὰς χεῖρας εἰς τὰ ὀπίσω καὶ μολιβδίσι τύπτεται καὶ ἐπὶ τροχοῦ κατατείνεται καὶ κάτωθεν πυρὶ ὑποκαίεται. Ἀγγέλου δὲ ἐπιστασίᾳ τούτων ἁπάντων ῥυσθεὶς ἐβλήθη παρὰ Μαξίμου τοῦ ἡγεμόνος ἐν τῇ φυλακῇ· καὶ ἐκβληθεὶς κατὰ τὴν ἡμέραν τὴν μεγάλην πέμπτην κατεκρίθη ἵνα σταυρωθῇ. Σταυρωθεὶς τοίνυν κατὰ κεφαλῆς — τοῦτο γὰρ

1. — [1] καὶ σημειοφόρου *om.* Mc. — [2] τὸν Χ. ἐξ ἁπαλῶν ὀνύχων Mc. — [3] *om.* Mc. — [4] ἄλλος οὐδεὶς Mc. — [5] εἰκονομάχας S. — [6] ὑπερβαλούσης Mc. — [7] (μύρια - αὐτῷ) διὰ θείου ἀστέρος τῆς ἐξόδου αὐτοῦ οὐ μόνον αὐτῷ μηνυθείσης Mc. — [8] πᾶσιν κτλ. *om.* Mc.

---

April. 6. ληφθεῖσα σὰρξ πρὸ τοῦ πάθους ἄφθαρτος ἦν, καὶ τοῦ βασιλέως τῇ ἀσεβείᾳ τοῦ δόγματος ὑπαχθέντος, καθαιρεῖται τοῦ θρόνου καὶ ἀπελαύνεται ὁ μέγας Εὐτύχιος, τὸ δυσσεβὲς τοῦ προβλήματος ἐξελέγχων. Γενόμενος δὲ ἐν τῷ κατὰ τὴν Ἀμάσειαν μοναστηρίῳ — ἐκεῖσε γὰρ ὑπερώριστο — τῆς ἀσκητικῆς διαγωγῆς εἴχετο· καὶ πολλὰς θαυμάτων ἐνεργείας διαπραξάμενος, αὖθις ἐπὶ τὸν οἰκεῖον θρόνον ἀνάγεται, δωδέκατον ἤδη χρόνον ἐν τῇ ὑπερορίᾳ τελέσας, τοῦ μὲν Ἰουστινιανοῦ ἐξ ἀνθρώπων γενομένου, Ἰουστίνου δὲ καὶ Τιβερίου ἐπὶ τοῖς σκήπτροις ἀναχθέντων τῆς βασιλείας· λαμπρᾶς δὲ τῆς παρὰ τῶν ἐν τέλει τυχὼν δεξιώσεως καὶ τὸν ἐπικείμενον ὄλεθρον τοὺς ἀνθρώπους ἄρδην ἀναιροῦντα καὶ λυμαινόμενον, δι' εὐχῆς αὖθις ἀναστείλας καὶ ἐπὶ χρόνοις κ' καὶ τέσσαρσι καὶ μησὶν ἓξ μετὰ τὴν ἐκ τῆς ὑπερορίας κάθοδον τὴν ἐκκλησίαν κατασχὼν πρὸς Κύριον ἐξεδήμησεν, καὶ πρότερον τῷ βασιλεῖ Τιβερίῳ πρὸ τῆς ἀρχῆς προθεσπίσας[11] τὴν βασιλείαν καὶ ὕστερον, αὐτοῦ εἰς ἐπίσκεψιν παραγενομένῳ, περὶ τοῦ τέλους εἰπών· ὃ καὶ συνέβη. Μετὰ γὰρ τὴν τοῦ ἁγίου πρὸς Κύριον ἐκδημίαν τέσσαρας μῆνας ἐπιβιώσας, καὶ αὐτὸς ἀπανέστη τοῦ σώματος. Κατετέθη δὲ ὁ ἅγιος Εὐτύχιος ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγίων Ἀποστόλων κατὰ τὴν κρηπῖδα τῆς ἁγίας τραπέζης, ἔνθα Ἀνδρέου καὶ Τιμοθέου καὶ Λουκᾶ τὰ ἅγια κατάκεινται λείψανα. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : Φερφούθης (April. 5[3]). — **Bc** : 1. — Τῶν ἁγίων ρν' μαρτύρων (April. 5[4]). — **C** : 1. — **Cd** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — Ἀγάπη, Εἰρήνη, Χιονία (April. 16[1]). — Γαλύκου, Βιθυνίου, Δίου (April. 3[3]). — Ἱλαρίου (April. 3[4]). — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Οἱ ἅγιοι ρκ' μάρτυρες. — Ἡ ἁγία Πλατωνὶς ἐν εἰρήνῃ τ. — Οἱ ἅγιοι δύο μάρτυρες οἱ ἐν Ἀσκάλωνι χωσθέντες ἄχρις ὀσφύος τ. — **Mv** : 1. — Τῶν ἁγίων ἑκατὸν εἴκοσι. — Πλατωνίδος. — Τῶν ἁγίων δύο μαρτύρων. — **Mr** : 1.

April. 7. SYNAXARIA SELECTA. **H** : 2. 3. 4. — **P** : 2. 3. 4. — **D** : 1. 2. 3 et 4 : Καλλιοπίου καὶ τοῦ ἁγίου μάρτυρος Ῥουφίνου διακόνου καὶ τῆς ἁγίας μάρτυρος Ἀκυλίνης καὶ τῶν σὺν αὐτοῖς[1] μαρτυρησάντων διακοσίων. Ὧν ὁ ἅγιος μάρτυς Καλλιόπιος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ τοῦ βασιλέως, υἱὸς γεγονὼς Θεοκλείας, τὴν εἰς Χριστὸν πίστιν δεδιδαγμένης· ὥρμητο δὲ ἐκ Πέργης τῆς Παμφυλίας. Τραφεὶς δὲ παρὰ τῇ μητρὶ εὐσεβῶς καὶ ταῖς θείαις ἐμμελετήσας γραφαῖς, ἐπικειμένου τοῦ κατὰ τῶν χριστιανῶν διωγμοῦ, ἑαυτὸν ἐπιρρώσας καὶ ἅμα παρὰ τῆς μητρὸς παραινέσεις πρὸς τὸ θαρρεῖν ὑπὲρ τοῦ κατὰ Χριστὸν μαρτυρίου δεξάμενος, αὐτόκλητος ἦλθε πρὸς τὸν ἡγεμόνα Μάξιμον· τὴν Πομπηιούπολιν, ἐφ' ἧς ὁ ἡγεμὼν διέτριβεν, καταλαβὼν καὶ τὸ τοῦ Χριστοῦ ὄνομα ἀνακηρύξας, εἰς τοὐπίσω τὰς χεῖρας δεσμεῖται καὶ μολιβίσι τύπτεται καὶ ἐπὶ τροχοῦ κατατείνεται καὶ κάτωθεν πυρὶ ὑποκαίεται. Ἀγγέλου δὲ ἐπιστασίᾳ ὅ τε τροχὸς ἔστη καὶ διέψυχράνθη τὸ πῦρ, φευκτὸς δὲ τοῖς ὁρῶσι διασπαραχθέντων αὐτοῦ τῶν μελῶν ὁ ἅγιος φανείς, ἐβλήθη ἐν τῇ φυλακῇ, ἐν ᾗ ἡ μήτηρ αὐτοῦ συνελθοῦσα ἀπέματτεν τοὺς ἐκ τῶν τραυμάτων ἰχῶρας[2] αὐτοῦ καταρρέοντας. Διαδοῦσα γὰρ πτωχοῖς τὴν οὐσίαν καὶ τοὺς

— [11] προθεσπεσίσας D.
[1] αὐτῶν D. — [2] *corr. in ras.* D.

April. 7. ᾐτήσατο ἡ μήτηρ τοῦ ἁγίου, ἵνα μὴ [1] ὁμοίως τῷ Χριστῷ καὶ Θεῷ κρεμασθῇ, καὶ πέντε χρυσίνους ὑπὲρ τούτου παρασχοῦσα τοῖς δημίοις — ἐπιγενομένης τῆς παρασκευῆς ἐπὶ ὥραν τρίτην τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε. Κατενεχθέντι δὲ αὐτῷ ἡ μήτηρ ἐπιχυθεῖσα καὶ λιποψυχήσασα ἀφῆκεν καὶ αὐτὴ τὴν ψυχήν· καὶ συγκατετέθη τῷ μάρτυρι παρὰ χριστιανῶν εὐσεβῶν καὶ πιστῶν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ῥουφίνου τοῦ θαυματουργοῦ.

4. Καὶ τῆς ἁγίας μάρτυρος Ἀκυλίνης καὶ τῶν σὺν αὐτῇ διακοσίων μαρτύρων [1].

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

April. 8. 1. Μνήμη τῶν ἁγίων ἀποστόλων Ἡρωδίωνος [1], Ἀγάβου καὶ Ῥούφου. Τούτων ὁ μὲν Ἡρωδίων, οὗ ὁ μέγας ἀπόστολος μέμνηται Παῦλος, ἐπίσκοπος ἐν Πάτραις τῆς Ἀχαΐας ἐγένετο. Ὁ δὲ Ἄγαβος, ὃς τὴν ζώνην τοῦ μεγάλου Παύλου λαβὼν καὶ ἑαυτοῦ χεῖρας καὶ πόδας δεσμήσας,

Act. 21, 11. προεφήτευσεν εἰπών· « Τάδε λέγει τὸ Πνεῦμα τὸ » ἅγιον· τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτως » δήσουσιν αὐτὸν ἐν Ἱερουσαλὴμ οἱ ἰουδαῖοι καὶ

f. 191. » μαστίξουσιν », ὃ καὶ γέγονεν. Οὐ γὰρ μόνον αὐτὸν ἐδέσμευσαν ἀλλὰ καὶ ἀνελεῖν ἐπεχείρησαν. Οὗτος τοίνυν ὁ Ἄγαβος εἰς τὸ ἐπιλαχὸν αὐτῷ μέρος τῆς οἰκουμένης ἐκήρυξεν. Ὁ δὲ Ῥοῦφος, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ὁ ἅγιος Παῦλος μέμνηται, ἐπίσκοπος τῆς πόλεως Θηβῶν τῶν πρὸς τῇ Ἑλλάδι ἐγένετο· ὁμοίως καὶ οἱ λοιποὶ πανταχοῦ τῆς οἰκουμένης ἐκήρυξαν [2]. Ἀμφότεροι δὲ τὸν Χριστὸν Θεὸν ὁμολογοῦντες καὶ τοὺς ἀπίστους εἰς πίστιν μεταγαγόντες τὴν ἀληθινήν, ἐν μιᾷ ἡμέρᾳ διαφόρως ὑπὸ ἰουδαίων καὶ ἑλλήνων τιμωρηθέντες ἐτελειώθησαν.

2. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Κελεστίνου πάπα Ῥώμης. Ὃς ὑπῆρχεν [1] ἐπὶ Θεοδοσίου τοῦ ἐν βασιλεῦσιν [2] νέου, ἐν τῇ ἐκκλησίᾳ τῆς πρεσβυτέρας Ῥώμης διὰ βίου καὶ λόγου καλῶς ἀνηγμένος· διὸ [3] καὶ τῆς ἀρχιερατικῆς ἠξιώθη καθέδρας, Ζωσίμου τοῦ πάπα τὸν βίον ἀπολιπόντος. Ὃς τὸν μακάριον Βονιφάτιον, ὁ δὲ τὸν μέγαν διεδέξατο Ἰνοκέντιον. Ὁ δὲ Κελεστῖνος ὑπὲρ τῶν ἀποστολικῶν καὶ πατρικῶν παραδόσεων πάντα καὶ λέγων καὶ πράττων, συγκαθεῖλε τὸν ἀσεβῆ Νεστόριον, δι' ἐπιστολῆς τὰς θεομισεῖς αὐτοῦ βλασφημίας [4] ἀποκηρύξας καὶ τῷ μακαρίῳ Κυρίλλῳ συνεργὸς εἰς τὴν αὐτοῦ καθαίρεσιν γεγονὼς πολλά

**2.** — [1] μοι S.
**1.** — [1] Ἡροδίονος S. — [2] ὁ δὲ Ῥοῦφος οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ὁ ἀπόστολος μέμνηται ἐπίσκοπος καὶ αὐτὸς Θηβῶν ἐγένετο *add.* S.
**2.** — [1] οὗτος ἦν **Mc.** — [2] ἐν β. *om.* Mc. — [3] δι' ὧν Mc. — [4] ἐλέγξας τε καὶ *add.* Mc.

---

April. 7. παῖδας καὶ τὰς παιδίσκας, τοὺς [3] σύμπαντας ὄντας πεντήκοντα καὶ διακοσίους, ἀπαλλάξασα τῆς δουλείας, συνῆν καὶ συνέψαλλεν τῷ ἁγίῳ. Φωτὸς δὲ περὶ τὴν φυλακὴν ἐν μέσῃ νυκτὶ γενομένου καὶ φωνῆς ἄνωθεν ἐνεχθείσης, δι' ἧς ἡ τοῦ μάρτυρος παρρησία καὶ ὁμολογία ἐμακαρίζετο, ἔτι μᾶλλον ἐπερρώσθη πρὸς τοὺς ἀγῶνας. Ὅθεν ἐπὶ τοῦ ἀνενδότου μένων, σταυρωθῆναι κατεδικάσθη· ἐκοινώνει δέ πως τῶν δεσποτικῶν παθῶν, οὐ τῷ τοῦ θανάτου μόνον τρόπῳ, ἀλλὰ καὶ τῷ καιρῷ, καθ' ὃν ταῦτα συνέβαινε, τῆς μεγάλης <πέμπτης [4]> ἐφισταμένης πρὸ τῆς σωτηρίου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως. Σταυρωθεὶς τοίνυν κατὰ κεφαλῆς, τοῦτο τῆς μητρὸς αἰτησαμένης καὶ πέντε χρυσίνους ὑπὲρ τούτου ἐπιδούσης τοῖς διώκταις, ἐπιγενομένης τῆς παρασκευῆς, περὶ τρίτην ὥραν τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν. Κατενεχθέντι δὲ αὐτῷ ἡ μήτηρ ἐπιχυθεῖσα καὶ λιποψυχήσασα ἀφῆκεν καὶ αὐτὴ τὴν ψυχήν· καὶ συγκατετέθη τῷ ἁγίῳ μάρτυρι παρὰ ἀνδρῶν εὐσεβῶν καὶ πιστῶν. — **Da** : 1. 2. 3. 4. — **Db** : 1. 2. 3. 4. — **K** : 1. 2. 3. 4. — **N** : 1. 2. 3. 4. — **Bb** : Εὐτυχίου (April. 6[1]). — Τῶν ἁγίων ρν' μαρτύρων (April. 5[4]). — **Bc** : 1. 2. 3 et 4. — **C** : 1. 2. 3. 4. — **Cd** : 1. 2. 3. 4. — **Ce** : 1. 2. — **Cg** : 1. 2. 3. 4. — **R** : deest. — **Ra** : 2. 3. 4. — **Rb** : 2. 3. 4. — **Rc** : 1. 3. 4. — **Mc** : 1. 2. 3. 4 : Ἡ ἁγία Ἀκυλίνα ἡ νέα τὰς χεῖρας ὀπίσω δεσμηθεῖσα καὶ τὴν κοιλίαν φλεχθεῖσα τ. Οἱ ἅγιοι διακόσιοι μάρτυρες οἱ ἐν Σινώπῃ ξ. τ. — **Mv** : 1. 2. 3. 4 : Ἀκυλίνη... Διακοσίων μαρτύρων. — **Mr** : 2. 1.

April. 8. SYNAXARIA SELECTA. **H** : 3. 2. — **P** : 3 : οὗτος ἦν ἐπὶ Ἀδριανοῦ βασιλέως... Des. : ἀπέδωκε τὴν ψυχήν. Καὶ χριστιανοὶ μυρίσαντες τὸ ἅγιον λείψανον αὐτόθεν ἐκήδευσαν καὶ κατέθηκαν ἐν τόπῳ λεγομένῳ Δαύλῳ. — 2. — **D** : 1 : Ἡ μνήμη τῶν ἁγίων ἀποστόλων Ἡρωδίωνος, Ἀγάβου, Ῥούφου, Φλέγοντος, Ἑρμοῦ καὶ τῶν σὺν αὐτοῖς. — 3. 2. — **Da** : 2. 1. — **Db** : 1. 2. 3. — **K** : 1. 2. 3. — **N** : 3. 2. 1. — **Bb** : Γεωργίου ἐπισκόπου Μιτυλήνης (April. 7[1]). — Καλλιοπίου (April. 7[2]). — Ῥουφίνου καὶ τῆς συνοδίας (April. 7[3, 4]). — **Bc** : 3. 2. — **C** : 3 (Παυσολυπίου). — 2 (Κελευστίνου). — **Cd** : 3. 2. — **Ce** : 3. 2. — **Cg** : 3. 2. — **R** : deest. — **Ra** : 1. 2. 3. — **Rb** : 1. 2. — **Rc** : 1. 2. 3. — **Mc** : 1 : Ἡρωδίωνος, Ἀγάβου, Φλέγοντος καὶ τῶν λοιπῶν. Τούτων ὁ μὲν Ἡρωδίων, οὗ ὁ μέγας ἀπόστολος Παῦλος μέμνηται, τοῖς ἁγίοις ἀποστόλοις διηκόνει ἐν ἅπασι· μετὰ δὲ ταῦτα ὑπ' αὐτῶν χειροτονεῖται πρεσβύτερος, εἶτα ἐπίσκοπος Νέων Πατρῶν. Πολλοὺς δὲ τῶν ἑλλήνων διδάσκων καὶ ἐπιστρέφων εἰς τὴν τοῦ Χριστοῦ πίστιν, ὑπὸ Ἰουδαίων φθονηθεὶς ἐπισυστάντων αὐτῷ μετὰ εἰδωλολατρῶν, πρῶτον μὲν τυφθεὶς ἰσχυρῶς καὶ λίθοις τὸ στόμα συντριβεὶς καὶ ξύλοις κατὰ κεφαλῆς κρουσθείς, ὕστερον μαχαίρᾳ ἀποσφάττεται. Ὁ δὲ Ἄγαβος, ὃς τὴν ζώνην τοῦ ἁγίου Παύλου λαβὼν καὶ ἑαυτοῦ χεῖρας καὶ πόδας

— [3] *corr.* D ; *prius* τοῦ. — [4] *om.* D.



τε ἄλλα κατορθώματα μνήμης καὶ λόγου [5] ἄξια κατεργασάμενος ἐν εἰρήνῃ τῶν τῇδε ἀπανίσταται.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Παυσιλύπου. Οὗτος ἦν κατὰ τοὺς χρόνους Ἀδριανοῦ τοῦ βασιλέως καὶ Πρίσκου ἐπάρχου τῆς Εὐρώπης [1]. Φωραθεὶς δὲ ὡς [2] τὸν Χριστὸν σεβόμενος, προσήχθη τῷ βασιλεῖ· καὶ χριστιανὸν ἑαυτὸν [3] ὁμολογήσας, τύπτεται ἀφειδῶς ῥάβδοις τριακοσίοις [4] καὶ [5] ἐκδίδοται Πραίκῳ τῷ ἐπάρχῳ. April. 8. Ἐπιμένων δὲ <τῇ [6]> εἰς Χριστὸν ὁμολογίᾳ τὴν διὰ ξίφους ἀπόφασιν δέχεται· διασπάσας δὲ τὴν περιτεθεῖσαν αὐτῷ ἅλυσιν καὶ μικρὸν ὑπεκφυγὼν τοὺς κατέχοντας [7], τῇ γῇ προσερεισθεὶς καὶ εὐξάμενος τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐψυχίου τοῦ ἐν Καισαρείᾳ τῆς Καππαδοκίας [1]. Οὗτος ὑπάρχων τῆς Καππαδοκῶν [2] χώρας, βίον ἀνεπίληπτον καὶ γνώμην κεκτημένος [3], γυναῖκα νομίμως ἠγάγετο. Ζήλῳ δὲ θείῳ πυρωθεὶς καὶ χριστιανῶν τοὺς πλείονας προσλαβόμενος, καθεῖλεν ἐκ βάθρων τὸν

f. 191v. ναὸν τὸν ἐπι|λεγόμενον τῆς Τύχης [4], εἰς ὃν <ἦν [5]> πιστεύων [6] ὁ παραβάτης Ἰουλιανὸς καὶ σπονδὰς καθ' ἑκάστην προσφέρων. Καὶ [7] ἐπεὶ διεγνώσθη [8] τὸ γενόμενον, σχεδὸν πάντας τοὺς χριστιανοὺς ἐκέλευσε [9] τῶν ἰδίων στερηθῆναι καὶ [10] ἐξορίαις καὶ κακώσεσι [11] ποικίλαις παραδοθῆναι· τὸν δὲ μάρτυρα Εὐψύχιον ὡς αἴτιον γενόμενον τοῦ τοιούτου δράματος ξίφει καθυποβληθῆναι καὶ τὸ πέρας τοῦ βίου δέξασθαι.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος [1] Βαδίμου τοῦ ἀρχιμανδρίτου [2]. Οὗτος ἦν κατὰ τοὺς χρόνους Σαβωρίου τοῦ [3] βασιλέως Περσῶν, ἐκ πόλεως Βηθλαπάτης. Οὐδὲν δὲ ἡγησάμενος τὸ τοῦ γένους περιφανὲς καὶ τὸν προσόντα πλοῦτον, ταῦτα παριδὼν γέγονε μοναχός, εἶτα καὶ ἀρχιμανδρίτης. Συνελήφθη [4] δὲ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν μετὰ τῶν φοιτητῶν αὐτοῦ ἑπτὰ [5] καὶ ἐτέθη ἐν εἱρκτῇ μῆνας τέσσαρας· εἶτα ἐξαχθεὶς ἐκδίδοται πρὸς τὸ ἀποτμηθῆναι τὴν [3] κεφαλὴν [8] Νηρσᾷ τινι δημίῳ [6], πρότερον μὲν χριστιανῷ ὄντι, διὰ δὲ τὸν φόβον τῶν βασάνων τὸν Χριστὸν ἀρνησαμένῳ. Ὃν ἰδὼν ὁ ἅγιος ἐταλάνισε τῆς ἀρνήσεως· αὐτὸς δὲ τρομαλέᾳ χειρὶ τετράκις κατενεγκὼν τὸ ξίφος καὶ τοσαυτάκις πλήξας, οὕτως ἐν κρίσει πολλῇ τὸν ἅγιον παραδεδωκέναι τὸ πνεῦμα ἐποίησεν. April. 9. Ὕστερον δὲ καὶ αὐτὸς διὰ ξίφους ἀπώλετο, πολλοῖς κακοῖς συσχεθεὶς ὡς τῇ ἀρνήσει προσμείνας.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων τῶν ἐν τῇ αἰχμαλωσίᾳ τελειωθέντων κατὰ [1] τὸ πεντηκοστὸν τρίτον ἔτος τῆς [2] βασιλείας Σαβωρίου. Ὁ αὐτὸς Σαβώριος [3] κατὰ τῆς Ῥωμαίων χώρας ἐλθών [4], ἦλθε καὶ πρὸς Βιζάβδην πόλιν οὕτω καλουμένην· φονεύσας δὲ τοὺς ἐν αὐτῇ [5] στρατιώτας καὶ τοὺς [6] ὅπλα κινεῖν δυναμένους, τὸν ἀπόλεμον ὄχλον σὺν γυναιξὶ καὶ γέρουσι καὶ παιδίοις [7] καὶ τὸν ἐπίσκοπον Ἡλιόδωρον καὶ Δοσὰν [8] καὶ Μαριὰβ πρεσβυτέρους καὶ πάντας τοὺς ἐν τῷ κλήρῳ περιεποιήσατο. Ἐν τῷ μέλλειν οὖν [9] τελευτᾶν τὸν ἐπίσκοπον Ἡλιόδωρον [10], Δοσὰν [8] τὸν πρεσβύτερον κεχειροτόνηκεν ἀντ' αὐτοῦ. Τῆς οὖν εἰωθυίας [11] δοξολογίας παρὰ τῆς ἐκκλησίας ἀναφερομένης τῷ Θεῷ, Ἀδερφάρ τις ἀρχίμαγος [12] τῷ Σαβωρίῳ ἀνήνεγκεν, ὅτι οἱ παρ' αὐτοῦ ἐαθέντες χριστιανοὶ Δοσάν [8] τινα προστησάμενοι τοῦ βασιλέως καὶ τῆς θρησκείας αὐτοῦ κατα|βλασφημοῦσι. f. 192. Προστάξαντος δὲ αὐτοῦ, ἤχθησαν ἄνδρες [13] τριακόσιοι· καὶ μὴ πεισθέντες προσκυνῆσαι [14] τῷ ἡλίῳ καὶ τῷ πυρί, τὰς κεφαλὰς ἀπετμήθησαν. Ἐξ ὧν πέντε καὶ εἴκοσιν φιλοψυχήσαντες ἐπ' ἀπωλείᾳ ἑαυτῶν τῷ βασιλεῖ προσέδραμον [15] καταπειθεῖς τούτῳ [16] γενόμενοι. Εἷς δέ τις ὀνόματι [17] Ἀβδιησοῦς [18] μὴ καιρίαν δεξάμενος τὴν πληγήν, οὐ συνανῃρέθη· ὃν ὕστερον ἀδεῶς [19] κηρύττοντα τὸν

— [5] λόγου καὶ μνήμης Mc.
**3.** — [1] (καὶ - Εὐρώπης) *om.* D. — [2] ὡς εἴη D, ὅτι S. — [3] καὶ ἑαυτὸν εἶναι χρ. D. — [4] *om.* D. — [5] εἶτα D. — [6] D, *om.* S. — [7] καὶ *add.* D.
**1.** — [1] τῆς Κ. *om.* Mc. — [2] ὅς ἐκ τῆς Κ. ὁρμώμενος Mc. — [3] καὶ ἀν. βίον κεκτ. Mc. — [4] τὸν τῆς Τ. λεγόμενον Mc. — [5] Mc, *om.* S. — [6] προστετηκὼς Mc. — [7] *om.* Mc. — [8] δὴ ἐγνώσθη Mc. — [9] ἐκέλευσε σχ. π. τ. χ. Mc. — [10] τ. ἰ. στ. κ. *om.* Mc. — [11] κολάσεσι Mc.
**2.** — [1] ὁσιομάρτυρος Mc. — [2] καὶ τῶν αὐτοῦ μαθητῶν *add.* Mc. — [3] *om.* Mc. — [4] συνελλήφθη S. — [5] μετὰ τῶν ἑπτὰ αὐτοῦ μαθητῶν Mc. — [6] τινὶ δημίῳ Νισὰρ καλουμένῳ Mc.
**3.** — [1] τὴν Περσίδα τοῦ βασιλέως Σαβωρίου Περσῶν κατὰ *add.* Mc. — [2] αὐτοῦ *add.* Mc. — [3] (Σαβωρίου - Σαβώριος) *om.* Mc. — [4] ἐλθόντος Mc. — [5] (ἦλθε - αὐτῇ) ἐπεὶ καὶ πόλιν τινα εἷλεν οὕτω καλουμένην Βυζάδην ἀνελὼν πρῶτον τοὺς δόξαντας ἐκεῖ Mc. — [6] τὰ Mc. — [7] παίδοις S, παισὶ Mc. — [8] Δησὰν Mc. — [9] οὖν μέλλειν Mc. — [10] ὁ ἐπίσκοπος Ἡλιόδωρος Mc. — [11] τῆς ε. δὲ Mc. — [12] (τῷ - ἀρχίμαγος) ὁ ἀρχιμάγειρος Ἀδεφὰρ Mc. — [13] ἄνδρες ἤχθησαν Mc. — [14] σέβας προσενεγκεῖν Mc. — [15] προσῆλθον τῷ βασιλεῖ Mc. — [16] ἐκείνῳ Mc. — [17] τοὔνομα Mc. — [18] Ἀβδιησὸς S. — [19] ἀνδρείως Mc.

---

Act. 21, 11. δεσμήσας προεφήτευσεν εἰπών· « Τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτως δήσουσιν αὐτὸν εἰς Ἱερου- » σαλὴμ οἱ ἰουδαῖοι καὶ μαστίξουσιν, » ὃ καὶ γέγονεν. Οὐ γὰρ μόνον αὐτὸν ἐδέσμησαν, ἀλλὰ καὶ ἀνελεῖν ἐπεχείρησαν. Οὗτος τοίνυν ὁ Ἄγαβος εἰς τὸ ἐπιλαχὸν αὐτῷ μέρος τῆς οἰκουμένης ἐκήρυξεν. Ὁ δὲ Ῥοῦφος, οὗ καὶ αὐτοῦ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ὁ ἀπόστολος μέμνηται, ἐπίσκοπος τῆς πόλεως Θηβῶν τῶν πρὸς τῇ Ἑλλάδι ἐγένετο. Ὁμοίως καὶ ὁ Φλέγων καὶ οἱ λοιποὶ πανταχοῦ τῆς οἰκουμένης κηρύττοντες τὸ εὐαγγέλιον καὶ τοὺς ἀπίστους πρὸς πίστιν μετάγοντες τὴν ἀληθινήν, ἐν μιᾷ ἡμέρᾳ διαφόρως τιμωρηθέντες ὑπὸ ἰουδαίων καὶ ἑλλήνων ἐτελειώθησαν. — 2. — **Mv** : 1. 2. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ τῶν μυροφόρων. — **Mr** : 1. April. 8.

April. 9. SYNAXARIA SELECTA. **H** : 2. 3. — **P** : 2. 3. — **D** : 1. 2. 3. — **Da** : 1. 2. 3. — **Db** : 1. 2. 3. — **K** : 1. 2. 3. — **N** : 2. 1. 3. — **Bb** : Παυσιλύπου (April. 8[3]). — Κελεστίνου (April. 8[2]). — **Bc** : 2. 3. 1. —

April. 9. λόγον τοῦ Θεοῦ παρρησίᾳ[20], ἀσεβής τις ἐπιθέμενος ἀνεῖλε μαχαίρᾳ οὐκ ἀηδῶς δεξάμενον τὴν σφαγήν· καὶ γὰρ ἐδυσφόρει καὶ ἔστενε τῶν συμμαρτύρων[21] ἀπολειφθείς.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀμφιανοῦ καὶ Αἰδεσίου τοῦ αὐταδέλφου αὐτοῦ, ἀθλησάντων ἐν Ἀλεξανδρείᾳ.

5. Καὶ τῆς ἁγίας μάρτυρος Ὑπομονῆς.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι'.

April. 10. 1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Τερεντίου, Ἀφρικανοῦ, Μαξίμου, Πομπηΐου καὶ ἑτέρων τεσσαράκοντα[1] τῶν περὶ τὸν μακάριον Ζήνωνα καὶ[2] Ἀλέξανδρον καὶ Θεόδωρον. Οὗτοι[3] ὑπῆρχον ἐπὶ[3] Δεκίου τοῦ δυσσεβοῦς[3] βασιλέως καὶ Φουρτουνατιανοῦ[4] ἡγεμόνος· ὥρμηντο δὲ ἐξ Ἀφρικῆς. Καταφοιτήσαντος δὲ δόγματος δεῖν ἐξόμνυσθαι τὴν εἰς Χριστὸν πίστιν τοὺς ταύτης ἀντεχομένους ἢ[5] μὴ πειθομένους παντοίως κολάζεσθαι, ὁρῶντες οὗτοι οἱ τεσσαράκοντα πολλοὺς ὑποσκελιζομένους καὶ πρὸς τὴν πλάνην αὐτομολοῦντας, συνωμολόγησαν ἀλλήλοις ἐνστῆναι <καὶ[6]> τῇ τῆς ψυχῆς καὶ τοῦ σώματος γενναιότητι ὑπὲρ Χριστοῦ καλῶς ἀποχρήσασθαι, ἀναμνήσαντες ἀλλήλους τῶν τοῦ Κυρίου ῥημάτων, ἃ πρὸς τὸ μαρτύριον τοὺς πιστοὺς ἐπαλείφων[7] μὴ δεδοικέναι
Matth. 10, 28. ἔλεγεν[8] ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τῆς δὲ ψυχῆς λαβέσθαι μὴ δυναμένων. Ἐπεὶ δὲ[9] προσαχθέντες τῷ ἡγεμόνι Φουρτουνατιανῷ[10] περὶ τῆς τοῦ Χριστοῦ δυνάμεως καὶ τῆς ἀσθενείας τῶν παρὰ τοῖς ἕλλησι τιμωμένων ξοάνων διεξῆλθον, τούτους μὲν ὁ ἡγεμὼν[11] ἐν τῇ φρουρᾷ βληθῆναι προσέταξεν[12], τοὺς δὲ[13] περὶ τὸν μακάριον Ζήνωνα καὶ Ἀλέξανδρον καὶ Θεόδωρον μεταστειλάμενος ἀποστῆναι τῆς τοῦ Χριστοῦ πίστεως παρῄνει[14]. Ἐνστάντων δὲ αὐτῶν καὶ τὸ τῆς πίστεως ἄτρεπτον ἐπιδειξαμένων ἐξ ὧν εἶπον καὶ ἔπαθον, νεύροις βοῶν καὶ ῥάβδοις ἀκανθώδεσι καὶ τραχείαις[15] ἐτύφθησαν ἐκ διαδοχῆς τῶν τυπτόντων ἐπὶ τοσοῦτον, ὥστε φανῆναι τὴν ἔνδον τῶν σπλάγχνων οἰκονομίαν· καὶ σουβλίοις πυρωθεῖσι τὰ ψύα αὐτῶν διετρώθη, καὶ κράματι | ὄξει[16] συντεθέντι καὶ ἅλατι καὶ τριχίνοις ὑπετρίβησαν[17] ὑφάσμασιν. f. 192r. Ἀπογνοὺς οὖν τὰ κατ' αὐτοὺς ὁ ἡγεμών, μᾶλλον δὲ καὶ[18] περιαλγὴς γενόμενος, οἷς διὰ προσευχῆς οἱ ἅγιοι ἐπὶ γῆς τὰ ξόανα ἤνεγκαν καὶ συνετρίβησαν, ἀποτμηθῆναι τὰς κεφαλὰς τούτων ἐκέλευσεν μηνὶ ἀπριλλίῳ πέμπτῃ[18]. Ἀχθέντες δὲ οἱ περὶ τὸν Τερέντιον καὶ παρρησιασάμενοι, αὖθις εἰς τὴν φυλακὴν ἐβλήθησαν[19], προσδεθέντες κλοιοῖς κατὰ τῶν τραχήλων καὶ πέδαις ὑποβληθέντες τοὺς πόδας καὶ τὰς χεῖρας[20] ἀλύσει δεθέντες[21]. Διήνεγκαν οὖν τὴν χαλεπὴν ταύτην τιμωρίαν, ὑποκειμένων αὐτοῖς τριβόλων σιδηρῶν[22], ἐπὶ πλείστας ἡμέρας ἀπόσιτοι διαμείναντες — εἰσαγωγὴ γὰρ ἄρτων[23] ἀπηγορεύθη παρὰ τοῦ ἡγεμόνος τοῖς δεσμοφύλαξιν. Αὐτοὶ δὲ θείας[24] ἀντιλήψεως τυχόντες παρὰ Θεοῦ, δι' ἐπιστασίας ἀγγέλου[25] τῶν δεσμῶν ἀποπεσόντων καὶ τροφῆς αὐτοῖς οὐρανόθεν χορηγηθείσης, αὖθις νεαροὶ τῷ ἡγεμόνι παρέστησαν· ξεσθέντες δὲ καὶ θηρίοις ὑποβληθέντες, ὧν οὐδὲν αὐτῶν ἥψατο, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

April. 11. 1. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀντίπα ἐπισκόπου Περγάμου τῆς Ἀσίας, τοῦ καὶ μύρον ἀδιαλείπτως βλύζοντος. Οὗτος ἦν κατὰ τοὺς καιροὺς Δομετιανοῦ τοῦ βασιλέως, σύγχρονος[1] τῶν ἁγίων ἀποστόλων, ὅτε καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης ὁ θεολόγος εἰς Πάτμον τὴν νῆσον ἐξόριστος

— [20] τὸν Χριστὸν *add.* Mc. — [21] μαρτύρων Mc.

1. — [1] ἑτέρων λς' Mc. — [2] *om.* Mc. — [3] κατὰ τοὺς χρόνους *add.* Mc. — [4] Φουρτινιανοῦ Mc. — [5] (τὴν εἰς - ἢ) τὸν Χριστὸν καὶ τοὺς μὲν πειθομένους τιμῶν βασιλικῶν ἀξιοῦσθαι τοὺς δὲ Mc. — [6] Mc, *om.* S. — [7] ἐπαλείφουσι Mc. — [8] λέγοντος Mc. — [9] οὖν Mc. — [10] τῷ ἡγ. πρ. Φουρτινιανῷ Mc. — [11] ὁ ἡγ. *om.* Mc. — [12] εἰς ἐξέτασιν δὲ καταστάντας πρότερον *add.* Mc. — [13] *om.* Mc. — [14] καὶ προσελθεῖν τοῖς εἰδώλοις *add.* Mc. — [15] ῥάβδοις γ. ἀκ. κ. ν. βοῶν Mc. — [16] (ὥστε - αὐτῶν διατρήσας καὶ κρᾶμα ὄξυ *ita* S) ὡς διαδείκνυσθαι τὴν ἔνδον τῶν σπλάγχνων αὐτῶν οἰκονομίαν· εἶτα ὀβελίσκοις πυρωθεῖσι κατὰ τῶν νώτων ἐπάρησαν καταχεθέντες κράματι ὄξει Mc. — [17] ἐπενετρίβησαν Mc. — [18] (ἐπὶ - πέμπτῃ) κατήνεγκαν ἀποτμηθῆναι τὰς κεφαλὰς τούτων προσέταξεν Mc. — [19] ἐνεβλήθησαν Mc. — [20] τὰς χ. κ. τ. π. Mc. — [21] περιδεθέντες Mc. — [22] καὶ ἅμα ἐπὶ πλείστας Mc. — [23] σιτίων Mc. — [24] (α. δ. θ.) ἀλλ' ἐν αὐτοῖς δεινοῖς Mc. — [25] ἀγγέλων καὶ Mc.

1. — [1] σύχρονος S.

April. 9. **C** : 2. 3. 1. — **Cd** : 2. 3. 1. — **Ce** : 2. 3. 1. — **Cg** : 2. 3. 1. — **R** : 1. 2. — **Ra** : 1. 3. — **Rb** : 1. 3. — **Rc** : 1. — **Mc** : 1. 2. 3. — **Mv** : 1. 2. 3. — Ἀβδιησοῦς μαχαίρᾳ τ. — **Mr** : 1.

April. 10. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — Τοῦ προφήτου καὶ ἀποστόλου Ἀγάβου (April. 8[1]). — **D** : 1. — Ἀγάβου. — **Da** : 1. — Ἀγάβου. — **Db** : 1. — Ἀγάβου. — **K** : 1. — Ἀγάβου. — **N** : 1. — **Bb** : Βαδίμου (April. 9[2]). — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Περσίδι (April. 9[3]). — Εὐψυχίου (April. 9[1]). — **Bc** : 1. — Ἀγάβου. — **C** : 1. — Ἀγάβου. — **Cd** : 1. — Ἀγάβου[1]. — **Ce** : 1. — Ἀγάβου. — **Cg** : 1. — Ἀγάβου. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Ὁ προφήτης Ὀλδᾶ ἐν εἰρήνῃ τ. — Ἰακώβου καὶ Ἀζᾶ (April. 17[3]). — **Mv** : 1. — Τῆς ἁγίας προφήτιδος Ὀλδᾶ. — Ἰακώβου καὶ Ἀζᾶ. — **Mr** : 1.

April. 11. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. 2. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. — **N** : 1. — **Bb** : Τερεντίου, Ἀφρικανοῦ κτλ. (April. 10[1]). — Ἀγάβου (April. 8[1]). — **Bc** : 1. — **C** : 1. — **Cd** :

[1] Ἀγάθου Cd.



ἦν, ὡς ἡ ἐπιστολὴ ἡ περὶ αὐτοῦ γράφει, ἱερέα τοῦτον πιστὸν καὶ μάρτυρα καλῶν. Ὑπάρχων δὲ τῆς κατὰ Πέργαμον ἐκκλησίας ὁ ἅγιος Ἀντίπας ἐν πάνυ πρεσβυτικῇ ἡλικίᾳ καὶ γηραιᾷ ἐκρατήθη[2] παρὰ τῶν εἰδωλολατρῶν τῶν σεβομένων τοῖς εἰδώλοις, ἐμφανισάντων αὐτοῖς τῶν εἰδώλων[3] μὴ δύνασθαι τὸν τόπον κατοικεῖν διὰ τὸν Ἀντίπαν. Ὅθεν ἀχθεὶς πρὸς τὸν ἡγεμόνα καὶ αὐτοῦ καταναγκάζοντος θῦσαι τοῖς εἰδώλοις καὶ προβαλλομένου τὴν τῶν ἑλλήνων θρησκείαν ἀρχαίαν εἶναι καὶ τιμιωτέραν, νεοφανῆ δὲ τὴν τῶν χριστιανῶν, οὐκ ἔπεισεν ἀλλ' ἐκ παραδείγματος ἤλεγξεν τὴν τῶν ἑλλήνων θρησκείαν παλαιὰν μὲν οὖσαν, κακὴν δέ. Ἔφη γὰρ ὅτι ὁ Κάϊν παλαιὸς μὲν γέγονε καὶ πρῶτος ἄνθρωπος μετὰ τὸν πρωτόπλαστον, ἀλλὰ φονεὺς τοῦ ἀδελφοῦ. Τούτοις τῶν ἀπίστων πρὸς ὀργὴν ἀναρριπισθέντων, ὁ μάρτυς ἐν τῷ κατὰ τύπον βοὸς τεχνευθέντι χαλκουργήματι ἐπὶ πλεῖστον | ἐκπυρωθέντι ἐμβάλλεται. April. 11. f. 193. Πολλὰ δὲ ἐν αὐτῷ τῷ Θεῷ ἱκετεύσας καὶ τὴν μεγάλην αὐτοῦ δύναμιν ἐξυμνήσας, καὶ ὑπὲρ ὧν ἠξιώθη παθεῖν αὐτῷ[4] εὐχαριστήσας, καὶ τοὺς μεμνημένους αὐτοῦ[5] ἄλλων τε νοσημάτων καὶ τῆς ἀπαρηγορήτου τῶν ὀδόντων ὀδύνης ἀπαθεῖς φυλάττεσθαι ἐξαιτήσας καὶ ἐπευξάμενος αὐτοῖς ἁμαρτιῶν ἄφεσιν καὶ τῆς μελλούσης κρίσεως ἱλασμόν, καὶ μέντοι τυχὼν τῆς αἰτήσεως, πρὸς Κύριον ἐξεδήμησε· καὶ ἐτέθη ἐν τῇ κατὰ Πέργαμον ἐκκλησίᾳ μύρα καὶ ἰάσεις ἀεννάως πηγάζων. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου, πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Τρυφαίνης τῆς ἐν Κυζίκῳ[1].

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου[1] ἐπισκόπου Παρείου. Ὃς κατὰ Παῦλον τὸν θεῖον τὴν ζωὴν αὐτοῦ ἅπασαν ἐν διωγμοῖς καὶ θλίψεσιν καὶ στενοχωρίαις διήνυσε, τὰς μεταβάσεις ἀεὶ ποιούμενος διὰ τὸ μὴ συνελθεῖν τοῖς εἰκονομάχοις καὶ ὑπογράψαι εἰς τὴν κατάλυσιν τῶν ἁγίων εἰκόνων[2], τῶν πατρικῶν μὲν[3] δογμάτων καὶ[3] παραδόσεων[3] προϊστάμενος, καταγελῶν δὲ[4] τῶν κακοδόξων. Ἐν τούτοις ἐγκαρτερῶν ἀνεπαύσατο ἐν Κυρίῳ[5].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀρτέμωνος[1]. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, πρεσβύτερος τῆς κατὰ Λαοδίκειαν ἐκκλησίας, γηραιὸς ὢν ἤδη καὶ ἐπανθοῦσαν ἔχων[2] τὴν πολιάν. Ὅστις[3] καὶ πρὸ τῆς μαρτυρίας αὐτοῦ εἰσελθὼν ἐν τῷ ναῷ τῶν εἰδώλων[4] μετὰ Σισιννίου τοῦ ἐπισκόπου κατέστρεψε τὰ εἴδωλα[5]. Κόμης δέ τις Πατρίκιος τοὔνομα μετὰ χρόνον ἐν τῇ πόλει April. 12. παραγενόμενος καὶ τὸ τολμηθὲν μαθὼν καὶ πρὸς τὴν ἐκκλησίαν, ἐν ᾗ διῆγεν ὁ ἅγιος[6], ὁρμήσας[7], νόσῳ κατασχεθεὶς ἐσχέθη μὲν τῆς ὁρμῆς· δηλοῖ δὲ τῷ ἐπισκόπῳ ὑπὲρ αὐτοῦ εὔξασθαι, ὑποσχόμενος[8] ἀνδριάντι χρυσῷ τιμήσειν αὐτόν, εἰ τεύξεται τῆς ὑγείας. Τοῦ δὲ ἐπισκόπου πιστεῦσαι μᾶλλον[9] εἰς τὸν κύριον ἡμῶν[10] Ἰησοῦν Χριστὸν μηνύσαντος καὶ ἀπαλλαγῆναι τῆς νόσου, τοῦτο συνθέμενος ἀνερρώσθη· ἔμεινε δὲ ὅμως ἐν ἀπιστίᾳ. Συλλαβὼν δὲ[11] ὕστερον τὸν ἅγιον Ἀρτέμωνα θῦσαι τοῖς εἰδώλοις καταναγκάζει. Ὁ δὲ ἔφη· « Δεκαὲξ ἔτη » ἐποίησα ἀναγινώσκων τὰς βίβλους τοῦ Θεοῦ » καὶ τὴν ἁγίαν γραφήν, | καὶ εἰκοσιοκτὼ ἔτη διά- f. 193v. » κονος ἀναγινώσκων τὸ εὐαγγέλιον καὶ εἰκοσι- » πέντε ἔτη πρεσβύτερος διδάσκων τὸν λαὸν τὴν » εὐσέβειαν· καὶ νῦν εἰδώλοις οὐ θύω. » Ἀλλ'

— [2] δὲ *add.* S. — [3] τὰ εἴδωλα S. — [4] αὐτὰ S. — [5] αὐτοῦ S.

2. — [1] ἡ ἁγία Τ. ἡ ἐν Κυζίκω ἐν εἰρήνῃ τ. Mc.

1. — [1] ὁμολογητοῦ *add.* D. — [2] (διὰ - εἰκόνων) *om.* D. — [3] *om.* D. — [4] καὶ καταγελῶν D. — [5] (ἐν - κυρίῳ) *om.* D.

2. — [1] Ἀρτέμονος S, πρεσβυτέρου καὶ μάρτυρος *add.* D. — [2] *om.* D. — [3] εἶτις S, αὐτοῦ D. — [4] δὲ τῆς κατασχέσεως αὐτοῦ D. — [5] (κατέστρεψε - εἴδωλα) ἐν τῷ ναῷ τῶν εἰδώλων εἰσελθὼν τὸ τοῦ Ἀπόλλωνος κατέστρεψεν ἄγαλμα D. — [6] Σισίννιος ἐπίσκοπος *add.* D. — [7] εἰσελθεῖν *add. corr.* D. — [8] αὐτῷ *add.* D. — [9] αὐτὸν D. — [10] *om.* D. — [11] γὰρ D. —

April. 11. 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. 2. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. 2. — Ὁ ὅσιος Φαρμούθιος ἐν εἰρήνῃ τ. — Μνήμη τοῦ ὁσίου Ἰωάννου μαθητοῦ τοῦ ἁγίου Γρηγορίου Δεκαπολίτου. — **Mv** : 1. 2. — Φαρμουθίου. — Ἰωάννου. — **Mr** : 1.

April. 12. SYNAXARIA SELECTA. **H** : 2. — **P** : 2. — **D** : 2. 1. — **Da** : 1. 3. — **Db** : 1. 3. — Μαρτίνου πάπα Ῥώμης (April. 13[1]). — **K** : 1. 3. — **N** : 2. 1. — **Bb** : Ἀντίπα (April. 11[1]). — **Bc** : 2. — **C** : 2, in marg. : Ζήτει τὸ συναξάριον τοῦ Γότθου εἰς ιε' τοῦ αὐτοῦ μηνός (April. 17[4]). — **Cd** : 2. — **Ce** : Κρίσκεντος (April. 15[1]). — **Cg** : 1. — **R** : 3. 2. — **Ra** : 1. — Τρυφαίνης (April. 11[2]). — Σάβα (April. 17[4]). — **Rb** : 1. — Σάβα. — **Rc** : Σάβα. — 1 (Βασιλείου ἐπισκόπου Καρείου). — **Mc** : 1. 4. — Ἀνθούσης θυγατρὸς τοῦ βασιλέως Κωνσταντίνου τοῦ Κοπρωνύμου. Αὕτη ὑπὸ τοῦ πατρὸς αὐτῆς πολλάκις ἀναγκασθεῖσα ζυγῆναι ἀνδρί, οὐκ ἐπείσθη· διὸ μετὰ τὸ ἀποβιῶσαι αὐτὸν ἀδείας λαβομένη, πάντα τὰ προσόντα αὐτῇ πένησι καὶ ἐκκλησίαις καὶ οἴκοις ἱεροῖς διανειμαμένη, πολλῶν ὀρφανῶν πατὴρ ἐγεγόνει καὶ χηρῶν προστάτης καὶ κηδεμών. Πολλαῖς δὲ παρακλήσεσι πολλάκις βιαζομένη ὑπὸ Εἰρήνης τῆς ὀρθοδόξου Αὐγούστης συνεῖναι αὐτῇ καὶ συμβασιλεύειν, οὐκ ἠνέσχετο. Ὁπόσας δὲ ἡμέρας διέτριβεν ἐν τῷ παλατίῳ, ἔξωθεν μὲν βασιλικὸν ἱμάτιον ἐπημφίεστο, ἔνδοθεν δὲ ῥάκος τρίχινον· τὸ ποτὸν αὐτῇ ὕδωρ, ἡ τροφὴ ἀσκητική, τὸ δάκρυον ἐν ὀφθαλμοῖς καὶ ὁ θεῖος ὕμνος ἀδιάλειπτος ἐπὶ στόματος. Ὅθεν καὶ τὸν μοναστὴν ὑπέρχεται βίον, διὰ χειρὸς τοῦ ἐν ἁγίοις Ταρασίου ἀποκειραμένη ἐν τῇ μονῇ τῶν Ὁμονοίας. Ἔκτοτε δὲ οὔτ' αὐτὴ τῆς μονῆς ἐξῆλθεν οὔτ' ἄλλη τῶν ἀδελφῶν. Οὐκ ἀπελείφθη ποτὲ τῆς ἐκκλησίας.

April. 14. πολυμαθὴς καὶ πολυΐστωρ ὡς οὐκ ἄλλος τις.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἐλευθερίου τοῦ Πέρσου.

3. Καὶ Ζωΐλου Ῥωμαίου[1].

4. Καὶ τῶν ἁγίων μαρτύρων Θεοδοσίου, Βασιλίδου καὶ Γεροντίου.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕʹ.

April. 15. 1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Κρίσκεντος τοῦ ἐν Μύροις τῆς Λυκίας[1]. Οὗτος ἦν ἐκ πόλεως Μύρων τῆς Λυκίας, γένους ἐνδόξου, τὴν ἡλικίαν προβεβηκώς. Ὁρῶν δὲ τὴν ἀσέβειαν κομῶσαν καὶ τὴν τῶν δαιμόνων θρησκείαν[2] ἐπαιρομένην[3] καὶ πολλοὺς τῇ πλάνῃ δεδουλωμένους[4] καὶ σέβας τοῖς ἀψύχοις προσάγοντας, ἀπέχεσθαι παρῄνει τῆς ματαιότητος, προελθὼν μέσον αὐτῶν, καὶ πρὸς τὸν Θεὸν ἐπιστρέφειν τὸν παρὰ τοῖς χριστιανοῖς σεβαζόμενον[5] δημιουργὸν ὄντα[6] πνοῆς ἁπάσης καὶ ζωῆς χορηγόν. Τοῦ δὲ ἡγεμόνος κακοδαίμονα τὸν ἅγιον ὀνομάσαντος[7], ὅτι δὴ αὐθαιρέτως πρὸς τὰ δεινὰ χωρεῖν ἔγνωκε, τῆς ἐσχάτης μὲν οὖν[8] εὐκλείας καὶ εὐδαιμονίας φησὶν[9] τὸ πάσχειν ὑπὲρ Χριστοῦ. Ἐρωτώμενος δὲ τύχην καὶ πατρίδα καὶ ὄνομα, | ἀντὶ πάντων χριστιανὸν ἑαυτὸν εἶναι f. 191v.

3. — [1] Ζωήλου Ῥωμαίων S.

1. — [1] τῆς Λ. *om.* Mc. — [2] (κομῶσαν - θρησκείαν) *om.* Mc. — [3] κρατυνομένην καὶ προχωροῦσαν Mc. — [4] καθυποκύπτοντας Mc. — [5] σεβόμενον Mc. — [6] καὶ *add.* Mc. — [7] (τοῦ δὲ - ὀνομάσαντος) ἐπεὶ οὖν εἰς μέσους αὐτοὺς παρελθὼν ἀνενδοιάστως καὶ εὐπαρρησιάστως τὰ τοιαῦτα παρῄνει ἰδὼν αὐτὸν ὁ ἡγεμὼν κακοδαίμονα προσωνόμασεν Mc. — [8] ὁ δὲ τῆς ἐσ. μὲν οὖν ἔφη Mc. — [9] φασὶν S.

---

April. 14. βόμενος, ἐν μιᾷ τῶν ἡμερῶν ἀποδημοῦντος τοῦ υἱοῦ αὐτοῦ ἐκ τῆς οἰκίας, ὁ τῶν ψυχῶν ὀλοθρευτὴς διάβολος αἰσχροὺς ἐνέβαλε τῷ γέροντι λογισμοὺς κατὰ τῆς νύμφης αὐτοῦ· καὶ ἐπειρᾶτο συμμιγῆναι τῇ κόρῃ, πάντα μηχανώμενος τρόπον, ὥστε εἰς τέλος ἀγαγεῖν τὴν ἐπιθυμίαν. Ὡς οὖν ἡ μακαρία Θωμαῒς πολλὰ νουθετοῦσα τὸν γέροντα καὶ παρακαλοῦσα ἤνυεν οὐδέν, πηρωθεὶς τὰς φρένας ὑπὸ τοῦ δαίμονος ὁ ἄθλιος ἐκεῖνος πρεσβύτης καὶ τὴν σπάθην τοῦ υἱοῦ λαβὼν καὶ πλήξας ταύτην καιρίως ἐδιχοτόμησε· καὶ ἡ μὲν ἀπέδωκε τὴν ψυχὴν καὶ μάρτυς ὑπὲρ σωφροσύνης ἐγένετο. Ὁ γέρων δὲ παραυτίκα τὰς ὄψεις ἀποβαλών, περιῆγε τὴν οἰκίαν τυφλώττων. Παραγενόμενοι δέ τινες εἰς ἀναζήτησιν τοῦ υἱοῦ αὐτοῦ, εὗρον τὴν μακαρίαν χαμαὶ κειμένην νεκράν, τοῦ ἐδάφους ἔνθα ἔκειτο πλήρους ὄντος αἱμάτων· καὶ ὡς εἶδον ταῦτα καὶ τὸν γέροντα ἔνθεν κἀκεῖθεν περιφερόμενον, ἐπυνθάνοντο, τί τὸ ὁρώμενον. Τοῦ δὲ τὴν ἀλήθειαν ἀνακαλύψαντος καὶ αὐτόχειρα τοῦ φόνου ἑαυτὸν ἐλέγχοντος καὶ ἅμα δυσωποῦντος ἀπαχθῆναι παρ' αὐτῶν πρὸς τὸν ἄρχοντα καὶ τὴν κατ' αὐτοῦ παρ' ἐκείνου ἀπόφασιν δέξασθαι, πεισθέντες οὗτοι παρέστησαν αὐτὸν τῷ ἄρχοντι· καὶ τῆς ἀληθείας διαγνωσθείσης, τῇ προστάξει τούτου ἀπετμήθη ὁ γέρων τὴν κεφαλήν. Ταῦτα μαθὼν ὁ ἀββᾶς Δανιήλ, ὁ τῆς Σκήτεως, κατῆλθεν εἰς Ἀλεξάνδρειαν· καὶ λαβὼν τὸ τῆς ἁγίας λείψανον καὶ ἀναγαγὼν εἰς τὴν Σκῆτιν ἐν τῷ αὐτοῦ κατέθετο κοιμητηρίῳ, ὡς ὑπὲρ σωφροσύνης δι' αἵματος τελειωθείσης. Καί τις τῶν ἐν τῇ Σκήτει ἀδελφῶν ἔρωτι πορνείας βληθείς, προσῆλθε τῷ τάφῳ τῆς μακαρίας, καὶ χρίσας ἑαυτὸν ἐλαίῳ ἐκ τῆς φωταγωγοῦ καὶ λαβὼν καθ' ὕπνους εὐλογίαν ἀπὸ τῆς κόρης ἐπιφανείσης αὐτῷ, ἔξυπνος γεγονὼς ἀπηλλάγη τοῦ πάθους. Καὶ ἔκτοτε καὶ μέχρι τοῦ νῦν πάντες οἱ ἀδελφοὶ ἐν τοῖς πολέμοις τῆς σαρκὸς μεγάλην βοηθὸν τὴν μακαρίαν ταύτην εὑρίσκουσι. — **Mv** : 1. — Ἀρδαλίωνος τοῦ τιμίου[5] (April. 18[3]). — Θωμαΐδος. — **Mr** : 1.

April. 15. SYNAXARIA SELECTA. **H** : Σάβα τοῦ Γότθου (April. 17[4]). — Τῶν ἁγίων μαρτύρων Θεοδώρου καὶ Παυσιλύπου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ γηροκομείῳ τοῦ Μελοβίου. — Βασιλίσσης καὶ Ἀναστασίας (April. 17[7]). — **P** : Σάβα. — Τοῦ ἁγίου μάρτυρος Θεοδώρου. — Βασιλίσσης καὶ Ἀναστασίας. — **D** : Σάβα τοῦ Γότθου. Οὗτος ἦν κατὰ τοὺς χρόνους τῆς βασιλείας Οὐαλεντινιανοῦ τοῦ μεγάλου καὶ Οὐάλεντος, τὴν διατριβὴν ἔχων ἐν Γοτθίᾳ, ἔνθα γεγέννηται. Ἔτι δὲ νήπιος ὢν τὴν εἰς Χριστὸν πίστιν εἵλετο καὶ τοὺς τῶν εἰδώλων λατρευτὰς ἐμυκτήριζεν, καὶ τῶν εἰδωλοθύτων οὐ μόνον οὐ προσίετο ἀλλὰ καὶ τοὺς βουλομένους ἀπογεύσασθαι διεκώλυεν, τὴν εἰς Χριστὸν πίστιν τούτοις ὑποτιθέμενος, καὶ πολλοῖς πρόξενος σωτηρίας ἐγένετο. Ὅθεν συστάντες ἐπ' αὐτὸν οἱ τοῖς εἰδώλοις προσκείμενοι[1] τῆς πόλεως ἀπελαύνουσιν. Μετὰ δὲ χρόνον τινὰ ἔρευναν περὶ τῶν χριστιανῶν ποιούμενοι καί τινας ὡς κατέχοντας αὐτοὺς καὶ φυλάττοντας αἰτιώμενοι, προσελθόντα τὸν ἅγιον Σάβαν καὶ ἑαυτὸν προσαγγείλαντα αὖθις μυκτηρίσαντες ἀπεπέμψαντο. Ὕστερον δὲ Ἀθαναρίχου παραγενομένου συνελήφθη· καὶ φραγγελλωθεὶς καὶ τυφθεὶς καὶ τῷ ἄξωνι ἐκταθεὶς καὶ ἐπὶ τῶν δοκῶν τῆς οἰκίας μετεωρισθεὶς καὶ ἀπογεύσασθαι τῶν εἰδωλοθύτων μὴ πεισθείς, ἤχθη ἐπὶ τὸν ποταμὸν Μουσαῖον, <καὶ ἐν αὐτῷ ῥιφεὶς[2]> ἐπιτεθέντος αὐτῷ ξύλου κατὰ τοῦ τραχήλου, ἀπεπνίγη, ἔτος ἄγων τῆς ἡλικίας λη'. — Θεοδώρου καὶ Παυσολυπίου. Τελεῖται δὲ κτλ. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους ἐπισκόπου Ἀθηνῶν. — **Da** : Σάβα[3]. — Θεοδώρου καὶ Παυσιλύπου. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους. — **Db** : Σάβα. — Θεοδώρου καὶ Παυσιλύπου. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους. — **K** : Σάβα. — Θεοδώρου καὶ Παυσιλύπου. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους. — **N** : Σάβα. — Βασιλίσσης καὶ Ἀναστασίας. — **Bb** : Συμεὼν ... Φασίκ (April. 17[1]). — Χιλίων μαρτύρων καὶ Ἀζᾶ τοῦ εὐνούχου (April. 17[2]). — Ἰακώβου πρεσβυτέρου καὶ Ἄζη (April. 17[3]). — **Bc** : Σάβα. — Ἀριστάρχου, Πούδη καὶ Τροφίμου (April. 14[1]). — Βασιλίσσης καὶ Ἀναστασίας. — **C** : Σάβα. —

— [5] *lege* τοῦ μίμου.

[1] προκείμενοι D. — [2] *supplevi ex* Mc *ad d. Aprilis 18.* — [3] τοῦ ἁγίου μάρτυρος Ὁσίου τοῦ Γότθου Da.



ἔλεγε. Καὶ μὴ καταδεξάμενος μηδὲ ἐν σχήματι σέβας τοῖς εἰδώλοις προσενεγκεῖν, καθὼς ὁ ἡγεμὼν συνεβούλευεν, ἀλλ' ἐπὶ πάντων τῷ Θεῷ ἐξομολογούμενος καὶ φάσκων μὴ δύνασθαι ἄλλο τι τὸ σῶμα ποιῆσαι παρὰ τὸ δοκοῦν τῇ ψυχῇ, παρ' αὐτῆς ἀγόμενον καὶ κινούμενον[10], πρῶτον μὲν ἀναρτηθεὶς τύπτεται[11], εἶτα[11] ξέεται· καὶ μετὰ τοῦτο καμίνου[11] πυρὸς[12] ἐξαφθείσης, ἐν αὐτῇ βληθεὶς[13], τοῦ[14] πυρὸς μηδὲ μέχρι τριχὸς αὐτοῦ[15] διαφθείραντος, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε. April. 15.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ιϛʹ.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Εἰρήνης, Ἀγάπης καὶ Χιονίας. Αὗται ἐκ πόλεως ὑπῆρχον Θεσσαλονίκης, κατὰ τοὺς χρόνους Μαξιμιανοῦ ἐν ὄρει τινὶ κρυπτόμεναι καὶ τὸν Θεὸν ταῖς ἀρεταῖς θεραπεύουσαι. Τὰ γὰρ οἰκεῖα κατέλιπον διὰ τὸν ἐπικείμενον κατὰ τῶν χριστιανῶν διωγμόν. Φωραθεῖσαι οὖν καὶ συλληφθεῖσαι, παρέστησαν τῷ ἄρχοντι Δουλκιτίῳ[1], ὅστις πολλὰ καταναγκάσας αὐτὰς θῦσαι τοῖς εἰδώλοις οὐκ ἔπεισεν. Ὅθεν ἡ μὲν ἁγία Ἀγάπη καὶ Χιονία πυρὶ τελειοῦνται. Τὴν δὲ ἁγίαν Εἰρήνην εὑρὼν ἔχουσαν ἱερὰ βιβλία, ἐν οἷς ἐμελέτων αἱ ἅγιαι, ἐκεῖνα μὲν κατέκαυσεν, αὐτὴν δὲ ἐν πορνείῳ ἐκέλευσεν ἀπενεχθῆναι· ἐν ᾧ Θεοῦ χάριτι ἄσπιλος διετηρήθη. Καὶ μὴ πειθομένην[2] δὲ ἀρνήσασθαι τὸν Χριστόν, καὶ αὐτὴν πυρὶ παρέδωκεν· καὶ οὕτως τὸν βίον μετήλλαξαν. April. 16.

— [10] (καὶ μὴ - κινούμενον) καὶ ἐπεὶ τῶν τοῦ ἡγεμόνος συμβουλιῶν ἀλλὰ μὴν καὶ τῶν ἀπειλῶν οὐδαμῶς ὑπεστρέφετο Mc. — [11] *om.* Mc. — [12] πυρὰς Mc. — [13] βληθῆναι καταδικάζεται Mc. — [14] δὲ *add.* Mc. — [15] αὐτὸν Mc.

1. — [1] Δουλκητίῳ S. — [2] θομένην S.

---

April. 15. Ἀριστάρχου, Πούδη καὶ Τροφίμου. — Θεοδώρου καὶ Παυσιλυπίου. — **Cd** : Σάβα. — Ἀριστάρχου κτλ. — Θεοδώρου καὶ Παυσιλυπίου. — **Ce** : Σάβα. — Ἀριστάρχου κτλ. — **Cg** : Σάβα. — Ἀριστάρχου κτλ. — Θεοδώρου κτλ. — **R** : Γεωργίου ἐν τῷ Μαλαίῳ (April. 5[5], Mai 12[1]). — Σάβα. — **Ra** : 1. — Θεοδώρου καὶ Παυσιλύπου. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους. — **Rb** : 1. — Θεοδώρου καὶ Παυσιλύπου. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους. — **Rc** : 1. — **Mc** : Ἀριστάρχου κτλ. — 1. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδης. — Θεόδωρος πρεσβύτερος καὶ Παυσολύπιος ξ. τ. — **Mv** : 1. — Βασιλίσσης καὶ Ἀναστασίας. — Λεωνίδους. — Θεοδώρου πρεσβυτέρου καὶ Παυσολυπίου. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ τοῦ παραλύτου. — **Mr** : 1.

April. 16. SYNAXARIA SELECTA. **H** : Λεωνίδους, Χαριέσσης κτλ. (April. 17[5]). — Εἰρήνης (April. 17[6]). — **P** : Λεωνίδους κτλ. — **D** : Λεωνίδους κτλ. — Εἰρήνης. — **Da** : Λεωνίδους κτλ. — Εἰρήνης. — **Db** : Λεωνίδους κτλ. — Εἰρήνης. — **K** : Λεωνίδους κτλ. — **N** : Λεωνίδου. — 1. — Εἰρήνης. — Ἀδριανοῦ. — **Bb** : Σάβα (April. 17[4]). — Ἀριστάρχου κτλ. (April. 14[1]). — Βασιλίσσης καὶ Ἀναστασίας (April. 17[7]). — **Bc** : Λεωνίδους κτλ. — Εἰρήνης. — Ἀδριανοῦ. — **C** : Λεωνίδου κτλ. — Εἰρήνης. — Ἀρδιλίωνος (April. 18[8]). — **Cd** : Λεωνίδου κτλ. — Εἰρήνης. — Ἀρδιλίωνος. — **Ce** : Εἰρήνης. — Ἀρδαλίβονος. — **Cg** : Λεωνίδου κτλ. — Εἰρήνης. — Ἀρδιλίωνος. — **R** : Λεωνίδους κτλ. — **Ra** : 1. — **Rb** : 1. — Λεωνίδους κτλ. — **Rc** : 1. — Λεωνίδους κτλ. — **Mc** : 1. — Φήλικος[1] ἐπισκόπου, Ἰαννουαρίου πρεσβυτέρου, Φουρτουνάτου καὶ Σεπτιμίνου[2]. Τῷ ὀγδόῳ ἔτει τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἐξῆλθε δόγμα κατὰ πᾶσαν χώραν τοῦ καίεσθαι πάσας τὰς βίβλους τῶν χριστιανῶν. Τότε τοίνυν Μαγνιανός τις παμμίαρος ἀποσταλεὶς ἐν πόλει Τουβιουκᾶν[3] παρέστησε τὸν ἐπίσκοπον Φήλικα, Ἰαννουάριον τὸν πρεσβύτερον, Φουρτουνάτον καὶ Σεπτιμῖνον. Καὶ ὑπαναγνοὺς αὐτοῖς τὸ τοῦ βασιλέως δόγμα, τὰ παρ' αὐτοῖς ἀπῄτει βιβλία. Ὁ δὲ ἁγιώτατος ἐπίσκοπός φησι πρὸς αὐτόν· « Γέγραπται, ὦ
Matth. 7, 6. » ἡγεμών, μὴ δότε τὰ ἅγια τοῖς κυσὶ μηδὲ βάλητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων· καὶ μάτην » σπουδάζεις, κἂν βασιλικὰ προφέρῃς προστάγματα. » Ὁ ἄρχων εἶπεν· « Ἀφεὶς τὰ περιττὰ ταῦτα τὸ » θέλημα τῶν βασιλέων ἐκπλήρου, ἐπεὶ δέσμιόν σε ἀποστελῶ πρὸς τὸν ἀνθύπατον. » Καὶ ὁ ἅγιος· « Ὁποῖος, φησίν, εἰμὶ ἐν σοί, τοιοῦτος καὶ ἐν πᾶσι καὶ ἐν τῷ βασιλεῖ σου εὑρεθήσομαι. » Τότε τῇ φυλακῇ ἐγκλείσας τοῦτον ἀνεπιμέλητον εἴασεν ἐπὶ ἡμέρας τρεῖς. Εἶθ' οὕτως ἐξαγαγὼν ἐπανέκρινε. Καὶ δεσμεύσας αὐτόν, σὺν τοῖς μετ' αὐτοῦ ἀπέστειλε πρὸς τὸν ἀνθύπατον. Τούτους πάλιν ὁ ἀνθύπατος κατεξετάσας τῇ φυλακῇ καθεῖρξε· καὶ μεθ' ἡμέρας ἕνδεκα ἐξαγαγὼν δεσμίους ἀπέστειλε τῷ ἐπάρχῳ τῶν πραιτωρίων. Ὃς δεξάμενος καὶ πάμπολλα ἐκφοβήσας, μετὰ πολλῆς ἀσφαλείας ἐν δεινοτάτῃ φυλακῇ ἐναπέκλεισε. Μεθ' ἡμέρας οὖν ἑξκαίδεκα ἐξαγαγὼν καὶ ἐπανακρίνας, εἰσῆξεν αὐτοὺς ἐν πλοίῳ μετὰ ἵππων δεδεμένους ἐν τοῖς ποσὶ τῶν ἀλόγων. Οἱ δὲ ἅγιοι κυλιόμενοι ἐν τοῖς ποσὶ τῶν ζῴων ἀπόσιτοι ἡμέρας τέσσαρας καὶ ὕδατος ἄγευστοι τῷ Θεῷ ηὐχαρίστουν· καὶ φθάσαντες εἰς λιμένα πόλεώς τινος, ἐδεξιώθησαν κρυφίως παρὰ χριστιανῶν· ἐκεῖθεν κατέλαβον πόλιν Ταυρομένιον[4] καλουμένην, καὶ ἀποπλεύσαντες ἐν Λυκαονίᾳ[5] ἦλθον εἰς πόλιν Αἰλούρων[6]. Τότε ὁ δύστηνος ἐκεῖνος ἔπαρχος, λύσας τοὺς ἁγίους τῶν δεσμῶν, πραείᾳ τῇ φωνῇ τὰς ἐρωτήσεις πρὸς αὐτοὺς ἐποιεῖτο. Τῶν δὲ ἀντιλεγόντων καὶ διατεινομένων μήτε βίβλους προδοῦναι μήτε τοῖς εἰδώλοις θῦσαι, προσέταξεν αὐτοὺς μαχαίρᾳ ἀναιρεθῆναι· καὶ τὴν ἀπόφασιν λαβόντες προσηύξαντο· καὶ ἀποτμηθέντες τὰς κεφαλὰς πρὸς τὸν ποθούμενον ἀνῆλθον Χριστόν (Aug. 30[1]). — Λεωνίδου κτλ. — **Mv** : Φήλικος κτλ. — Λεωνίδους κτλ. — Εἰρήνης. — **Mr** : 1.

[1] Φίληκος Mc. — [2] Σεπτεμίνου Mc. — [3] τοῦ βιουκᾶν Mc, Thibiuca C.I.L. *VIII, 14289-91.* — [4] Ταυρομενὴν Mc. — [5] *legendum forte* Λευκανία, in partes Lucaniae *in Passione S. Felicis, n. 5,* Act. SS., *Oct. t. X, p. 627.* — [6] civitatem nomine Rulo, *ibid.*

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ'.

April. 17. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Συμεὼν ἀρχιεπισκόπου Περσίδος καὶ τῶν σὺν αὐτῷ Ἀβδελᾶ πρεσβυτέρου, Γουσθαζὰτ καὶ Φουσὶκ[1] καὶ ἑτέρων ὁμοῦ ἑκατὸν πεντήκοντα. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Σαβωρίου βασιλέως Περσῶν· <καὶ ὁ μὲν Συμεὼν προεστὼς τῆς τῶν χριστιανῶν ἐκκλησίας τῆς ἐν ταῖς πόλεσι ταῖς κατὰ[2]> Κτησιφῶντα[3] καὶ Σαλήκ, ὁρῶν παρὰ τῶν Περσῶν τὰ παράνομα πραττόμενα, γράφει[4] τῷ βασιλεῖ ὅτι· « Ἡμεῖς δοῦλοι Χριστοῦ τοῦ Θεοῦ » ἡμῶν ὑπάρχοντες ὑποφόροι ὑμῶν εἶναι οὐ κατα- » δεχόμεθα· ποίει οὖν ὃ βούλει. » Τότε ἀποστείλας ὁ Σαβώριος ἤγαγεν αὐτὸν δέσμιον μετὰ τῶν σὺν αὐτῷ[5]· καὶ εἰσελθὼν οὐ προσεκύνησεν τῷ βασιλεῖ, ὡς καὶ πρότερον. Καὶ εἶπεν ὁ βασιλεύς· « Διὰ τί οὐ προσεκύνησάς μοι; » Ὁ δέ φησιν· « Ὅτε εἴχομεν εἰρήνην, ἐποίουν τοῦτο· ὅτε δὲ » ἀπέστειλας ἀχθῆναί με δέσμιον, οὐ προσκυνῶ » σε. » Ἐξερχομένου δὲ αὐτοῦ πρὸς τὸ ἐγκλεισθῆναι, πραιπόσιτός τις καὶ μέγας τοῦ παλατίου, f. 195. Γουσθαζὰτ ὀνόματι, | εὐνοῦχος[6] γέρων, ὃς καὶ τὸν βασιλέα ἀνέθρεψε, ἰδὼν τὸν ἐπίσκοπον ἠβουλήθη ἀσπάσασθαι αὐτόν· ὁ δὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτοῦ διὰ τὸ μὴ εἶναι χριστιανόν. Ὁ δὲ στενάξας εἶπεν· « Εἰ σὺ μὲν ἄνθρωπος ὢν ἀπε- » στράφης με, ὁ Θεὸς ὃν ἠρνησάμην πῶς ἀγα- » πήσει με; » καὶ εὐθέως ἐπέστρεψεν ἐπὶ τὸν Κύριον, καὶ σὺν τῷ ἐπισκόπῳ ἀπεκεφαλίσθη. Ἔνθα λέγεταί τινα τῶν ἀναιρουμένων δειλιάσαι πρὸς τὴν πληγήν· τὸν δὲ κουροπαλάτην, οὕτω λεγόμενον Φουσίκ[7], παρεστῶτα αὐτῷ προσειπεῖν μηδὲν εἶναι δεινόν, ἀλλ' ἐπιμύσαντα τὰς ὄψεις προσδέξασθαι τὴν διὰ τοῦ ξίφους τομὴν ταχυθάνατον οὖσαν· συλληφθέντα δὲ καὶ αὐτὸν καὶ εἰς τὸν Χριστὸν πιστεύειν ὁμολογήσαντα τὴν γλῶτταν τμηθῆναι καὶ τὸ δέρμα ὅλου τοῦ σώματος ἀφαιρεθῆναι, καὶ οὕτως τὴν ψυχὴν ἀποδοῦναι. Εἶχε δὲ καὶ θυγατέραν ἀσκήτριαν χριστιανήν, καὶ ὁ βασιλεὺς κατηνάγκασεν ταύτην θῦσαι τοῖς εἰδώλοις· καὶ μὴ πεισθεῖσα καὶ διαφόροις τιμωρίαις ταύτην ὑποβαλὼν[8], ξίφει τὴν κεφαλὴν ἀπετμήθη.

**2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων χιλίων μαρτύρων καὶ Ἀζὰτ τοῦ εὐνούχου. Τῆς σωτηριώδους ἑορτῆς ἐπιστάσης τῆς ἁγίας καὶ μεγάλης παρασκευῆς, ἑώρταζον καὶ οἱ ἐν Περσίδι χριστιανοὶ καὶ ἐδοξολόγουν εὐχαριστοῦντες Χριστῷ, τῷ δι' ἡμᾶς ὑπομείναντι τὰ σωτήρια πάθη. Κρατηθέντος οὖν τοῦ ἁγίου Συμεὼν τοῦ ἐπισκόπου καὶ ἀναιρεθέντος, καὶ μετ' ἐκεῖνον[1] φονευθέντων καὶ ἄλλων πολλῶν, — καὶ γὰρ ἀπὸ τῆς μεγάλης παρασκευῆς μέχρι δεκάτης ἡμέρας πᾶς χριστιανὸς ὁ κρατούμενος ἐφονεύετο — ἐκρατήθησαν καὶ οὗτοι οἱ ἅγιοι, καὶ μετ' αὐτῶν Ἀζὰτ ὁ εὐνοῦχος, πλούσιος μὲν ὢν καὶ πρῶτος τοῦ παλατίου ἀγαπώμενός τε πλεῖστα καὶ τιμώμενος ὑπὸ τοῦ Σαβωρίου. Καὶ παραστάντος ἐνώπιον τοῦ βασιλέως καὶ ὁμολογήσαντος τὸν Χριστὸν παρρησίᾳ, ἀνῃρέθησαν ἅπαντες. Μεταμεληθεὶς δὲ ὁ Σαβώριος ἐπὶ τῷ θανάτῳ τοῦ ἁγίου Ἀζάτ[2], ἐνομοθέτησεν ἔκτοτε μὴ φονεύεσθαι χριστιανούς· καὶ ἐφυλάχθη ἕως καιροῦ.

**3.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰακώβου πρεσβυτέρου καὶ Ἀζᾶ διακόνου. Οὗτοι κατὰ τοὺς χρόνους ἦσαν Σαβωρίου τοῦ βασιλέως[1], ὁ μὲν Ἰάκωβος ἀπὸ κώμης λεγομένης Φαργαθᾶ, Ἀζᾶς δὲ ἀπὸ κώμης Βηθνηρῆ[2]. Συλληφθέντες δὲ καὶ παρα|στάντες τῷ ἀρχιμάγῳ Ἀρχωγαιχάρ[3], διὰ f. 195v. τὴν εἰς Χριστὸν ὁμολογίαν σίναπι[4] μετ' ὄξους τοῖς μυκτῆρσιν ἐδέξαντο· εἶτα τύπτονται καὶ μετεωρίζονται γυμνοὶ ὑπὸ τὸ αἴθριον τῷ νυκτερινῷ ψύχει καταπηγνύμενοι. Καὶ μὴ πεισθέντες θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρὶ τὰς κεφαλὰς ἀποτέμνονται[5]. Κατελθόντος δὲ τοῦ δημίου εἰς τὴν παρακειμένην λίμνην καὶ τὸ ξίφος πλύναντος, μετεβλήθη τὸ ἐν αὐτῇ ὕδωρ εἰς αἷμα καὶ διήρκεσεν ἐπὶ πολύ· εἶτα ἐξηράνθη.

**4.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σάβα τοῦ Γότθου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Οὐαλεντινιανοῦ, ἐκ τῆς χώρας δὲ τῶν Γότθων. Ἐκ παιδόθεν χριστιανὸς ὤν, οὐ μόνον ἀπεστρέφετο τὰ εἰδωλόθυτα βρώματα, ἀλλὰ καὶ τοὺς βουλομένους αὐτῶν ἀπογεύεσθαι διεκώλυεν· ἀντὶ δὲ αὐτῶν τὴν εἰς Χριστὸν πίστιν παρατιθέμενος, πολλοὺς ἐπιστρέφων ἐβάπτιζεν. Ἐπισυστάντες οὖν ἐπ' αὐτὸν οἱ εἰδωλολάτραι βίᾳ τῆς πόλεως ἀπήλασαν. Μετὰ δὲ χρόνον τινὰ Ἀθαναρίχου τοῦ ἄρχοντος τῶν Γότθων διωγμὸν κινήσαντος κατὰ χριστιανῶν καὶ πάντας τοὺς τὸν Χριστὸν Θεὸν κηρύττοντας λυμαινομένου, ἐκρατήθη καὶ αὐτὸς καὶ ἐν τῷ τῆς ἁμάξης ἄξωνι προσδεθεὶς ἐπὶ τῶν δοκῶν τῆς οἰκίας ἐκρεμάσθη.

**1.** — [1] *al. et infra* Φασίκ, *cf.* Synaxaria selecta *ad d. Aprilis 14.* — [2] (καὶ - κατὰ) *om.* S, *supplevi, cf.* D *ad d. Aprilis 14.* — [3] Κτησιφῶν S. — [4] πράττοντα γράφειν S. — [5] ὁ. μετὰ τῶν σὺν αὐτῷ Bc *ad d. Aprilis 14*; αὐτοὺς δέσμιον μετ' αὐτῶν καὶ τοῖς λοιποῖς S. — [6] εὐνοῦχον S. — [7] Φασίκ S *hic tantum.* — [8] ὑποβαλλὼν S.
**2.** — [1] ἐκείνων S. — [2] Ἀζᾶ *hic* S.
**3.** — [1] Περσῶν *add.* D *ad d. Aprilis 14.* — [2] Βιθνηρῆ D. — [3] Ἀχοσγάρ D. — [4] σίνιπι S, D. — [5] *hic des.* D.

April. 17. SYNAXARIA SELECTA. **H** : Ἀρδαλίωνος (April. 18[3]). — Ἀγαπητοῦ... Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις (April. 18[3]). — **P** : Ἀρδαλίωνος. — Ἀγαπητοῦ. — **D** : Ἀρδαλίωνος. — Ἀγαπητοῦ. — Ἀνθούσης (April. 18[5]). — Εὐθυμίου τοῦ θαυματουργοῦ (April. 18[6]). — **Da** : Ἀγαπητοῦ. — Ἀρδαλίωνος. — Ἀνθούσης. — 6. — **Db** : Ἀγαπητοῦ. — Ἀρδαλίωνος. — Ἀνθούσης. — Εὐθυμίου. — **K** : Ἀγαπητοῦ. — Ἀρδαλίωνος. — Ἀνθούσης. — Εὐθυμίου. — **N** : Ἀκακίου (April. 18[1]). — Ἀρδαλίωνος. — Ἀγαπητοῦ. — Ἀνθούσης. — **Bb** : 5. 6. — Ἀδριανοῦ. — **Bc** : Ἀρδαλίωνος. — Ἀγαπητοῦ. — Ἀνθούσης. — **C** : Ἀγαπητοῦ (Des. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις



Καὶ ἀπογεύσασθαι τῶν εἰδωλοθύτων μὴ πεισθείς, ἤχθη ἐπὶ τὸν ποταμὸν Μουσαῖον, προσδεθέντος αὐτῷ ξύλου μεγίστου[1] κατὰ τοῦ τραχήλου· καὶ ἐν αὐτῷ ῥιφεὶς ἀπεπνίγη, ἔτος ἄγων τῆς ἡλικίας τριακοστὸν ὄγδοον.

**5.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Λεωνίδου, Χαριέσσης[1], Νουνεχίας, Βασιλίσσης, Νίκης, Γαλήνης, Κάλλιδος καὶ Θεοδώρας. Οὗτοι[2] ὑπῆρχον ἐκ τῆς χώρας[3] Ἑλλάδος. Καὶ ὁ μὲν Λεωνίδης ἐν τῇ ἁγίᾳ ἑορτῇ τῆς ἀναστάσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πολλοῦ λαοῦ αἰνῶν καὶ δοξολογῶν τὸν Θεὸν ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ καὶ ἑορτάζων, ἐκρατήθη παρὰ τῶν εἰδωλολατρῶν· καὶ δεσμευθεὶς ἤχθη εἰς Κόρινθον[4]. Ἡ δὲ Χαρίεσσα καὶ[5] Νουνεχία καὶ ἡ μήτηρ τῆς Νουνεχίας Βασίλισσα καὶ Νίκη καὶ Γαλήνη καὶ Κάλλις καὶ Θεοδώρα ἤχθησαν καὶ αὗται[6] εἰς Κόρινθον πρὸς Βενοῦστον τὸν ἡγεf. 196. μόνα[7]· ὃς τὸν ἅγιον Λεωνίδην εὑρὼν ἑδραῖον | καὶ ἀμετακίνητον τῆς εἰς Χριστὸν πίστεως[8], κρεμάσας[9] ἀφειδῶς προσέταξε ξέεσθαι· εἶτα μετὰ τῶν σὺν αὐτῷ[10] τῷ βυθῷ τῆς θαλάσσης ἐκδοθῆναι ἐκέλευσεν. Ἔνθα λέγεται τὴν μακαρίαν Χαρίεσσαν ᾄδειν προφωνοῦσαν ὥσπερ ποτὲ τὴν Μαριὰμ ἐπὶ τῇ καταποντώσει τῶν Αἰγυπτίων[11]· « Ἓν μίλιον » ἔδραμον, Κύριε, καὶ στράτευμά με ἐδίωξε[12], » Κύριε· καὶ οὐκ ἠρνησάμην σε, Κύριε, σῶσόν » μου τὸ πνεῦμα· » τοὺς δὲ λοιποὺς συνεπακούοντας καὶ συμψάλλοντας φθάσαι μέχρι τῆς θαλάσσης καὶ ἐν πλοίῳ ἐπιβάντας τῆς ᾠδῆς παρατεινομένης ἀναχθῆναι ἐπὶ σταδίους τριάκοντα· εἶτα προσδεθέντας λίθοις ἐξωσθῆναι τοῖς ὕδασι, γενέσθαι δὲ τὴν μαρτυρίαν αὐτῶν πρὸ μιᾶς τοῦ πάσχα ἡμέρας[13]. April. 17.

**6.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας Εἰρήνης. Ἥτις κατὰ τὸν καιρὸν τοῦ ἁγίου πάσχα ἐν τῇ χώρᾳ τῆς Ἑλλάδος, ὅτε καὶ ὁ ἅγιος Λεωνίδης μετὰ τῶν σὺν αὐτῷ ἐμαρτύρησεν, ἐν ἰδίῳ εὐκτηρίῳ μετὰ τῶν τότε χριστιανῶν τῷ Θεῷ δοξολογοῦσα κατεμηνύθη τῷ ἄρχοντι καὶ κρατηθεῖσα ἐβλήθη ἐν τῇ φρουρᾷ· εἶτα ἐξαχθεῖσα καὶ τὴν γλῶτταν ἐκκοπεῖσα καὶ τοὺς ὀδόντας ἐκριζωθεῖσα τὴν κεφαλὴν ἀπετμήθη.

**7.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων γυναικῶν Βασιλίσσης καὶ Ἀναστασίας. Αὗται ὑπῆρχον ἐκ τῆς μεγαλοπόλεως Ῥώμης εὐγενεῖς καὶ πλούσιαι[1], μαθήτριαι δὲ γεγονυῖαι τῶν ἁγίων ἀποστόλων. Αἵτινες[2] μετὰ τὴν[3] τελευτὴν[3] τούτων τὰ τίμια αὐτῶν λείψανα ἀνελόμεναι[3] νυκτὸς[4] καὶ κηδεύσασαι διεγνώσθησαν· καὶ τῷ δυσσεβεῖ Νέρωνι καταμηνυθεῖσαι καὶ πρὸς αὐτὸν εἰσαχθεῖσαι[5], τότε μὲν εἰς φυλακὴν παρεπέμφθησαν. Ὕστερον δὲ ἐκβληθεῖσαι καὶ μὴ πεισθῆναι τῷ τοῦ βασιλέως κελεύσματι <βουλόμεναι[6]> ἀλλὰ ἀμετακίνητοι[7] σταθεῖσαι τῇ τοῦ Χριστοῦ πίστει, ἀναρτῶνται καὶ ξέονται καὶ λαμπάσι καταφλέγονται, τοὺς μαστούς τε καὶ τὰς γλώσσας ἀποτέμνονται[8], καὶ τέλος μαχαίραις[2] τὰς σφῶν[2] κεφαλὰς ἀφαιροῦνται[9]· καὶ οὕτως τοὺς στεφάνους τῆς ἀθλήσεως ἔλαβον.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

April. 18. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος καὶ ὁμολογητοῦ Ἀκακίου[1] ἐπισκόπου Μελιτινῆς. Οὗτος ἦν κατὰ τοὺς χρόνους Δεκίου τοῦ βασιλέως, τὴν εἰς Χριστὸν πίστιν διδάσκων. Συσχεθεὶς δὲ προσήχθη f. 196v. Μαρκιανῷ ὑπάτῳ, καὶ περὶ ὧν κηρύττει ἐρωτηθεὶς | διεξῆλθε τὴν καθ' ἡμᾶς τοῦ Θεοῦ οἰκονομίαν καὶ τὰ μυθώδη τῶν ἑλλήνων διήλεγξεν[2]· ὅθεν βασάνους[3] δέχεται <καὶ[4]> τῇ φρουρᾷ κατακλείεται. Ἀνήγγειλε δὲ περὶ τούτου ὁ Μαρκιανὸς τῷ Δεκίῳ καὶ τὰ κατὰ τὴν ἐξέτασιν ὑπομνήματα ἀποστείλας.

**4.** — [1] ξύλῳ μεγίστῳ S.
**5.** — [1] Χαριέσης *hic* S. — [2] Λ., Χ., Νίκης, Γαλήνης, Καλλίδους, Νουνεχίας, Βασιλίσσης καὶ Θεοδώρας οὗτοι οἱ ἅγιοι Mc *ad d. Aprilis 16.* — [3] *om.* Mc. — [4] (ἐν τῇ - Κόρινθον) συνελήφθη ἐν Τροιζῆνι ἐξάρχων πνευματικοῦ χοροῦ ἐν ταῖς ἑορτασίμοις ἡμέραις τῆς ἁγίας τοῦ Χριστοῦ ἀναστάσεως καὶ εἰς Κόρινθον ἤχθη Mc. — [5] ἡ *add.* Mc. — [6] Θεοδώρα καὶ Καλλὶς ἐκ τῆς Ἑλλάδος οὖσαι καὶ αὗται ἤχθησαν Mc. — [7] τὸν ἡγ. Β. Mc. — [8] εὑρὼν ἀσάλευτον ἔχοντα τὴν εἰς Χ. π. Mc. — [9] κρεμάσαι S. — [10] αὐτῶν S. — [11] καὶ λέγειν *add.* Mc. — [12] μοι ἐδ. S, με κατεδίωξε Mc. — [13] ἡμέρας τ. π. Mc.
**7.** — [1] εὐγενῶν καὶ πλουσίων *sic* Mc *ad d. Aprilis 15.* — [2] *om.* Mc. — [3] δὲ *add.* Mc. — [4] λαμβάνουσαι *add.* Mc. — [5] (καὶ - εἰσαχθεῖσαι) *om.* Mc. — [6] *supplevi, om.* S. — [7] ἀμετακίνηται S. — [8] (ἐκβληθεῖσαι - ἀποτέμνονται) ἐξαχθεῖσαι καὶ τῇ εἰς Χ. ὁμολογίᾳ ἐμμένειν εἰποῦσαι ἀναρτῶνται τοὺς μαστοὺς δὲ καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ἅμα καὶ τὰς γλώσσας ἐκτέμνονται Mc. — [9] *hic des.* Mc.
**1.** — [1] οὗτος προεγράφη μαρτίου κζ'· ἐτέθη διπλῶς *in marg.* S. — [2] διήλλεγξεν S. — [3] βασάνοις S. — [4] *om.* S.

April. 17. κτλ.). — Ἀνθούσης. — **Ce** : Ἀγαπητοῦ. — Ἀνθούσης. — **Cg** : Ἀγαπητοῦ. — Ἀνθούσης. — **R** : Ἀκακίου. — Ἀρδαλίωνος. — **Ra** : 1. — **Rb** : Ἀκακίου. — **Rc** : Ἀκακίου. — Ἀγαπίου πάππου τῆς πρεσβυτέρας Ῥώμης (April. 18[2]). — Ἀρδαλίωνος. — **Mc** : 1. — Ἀδριανοῦ. — Ἀγαπητοῦ. — **Mv** : 1. — Ἀδριανοῦ. — Ἀγαπητοῦ. — **Mr** : 1.

April. 18. SYNAXARIA SELECTA. **H** : Βίκτωρος, Ζωτικοῦ, Ζήνωνος, Ἀκινδύνου καὶ Σευηριανοῦ (April. 20[5]). — Γεωργίου ἐπισκόπου Ἀντιοχείας (April. 20[4]). — Τρύφωνος ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (April. 20[3]). — **P** : Βίκτωρος κτλ. — Γεωργίου. — **D** : 4 : Κοσμᾶ ἐπισκόπου Χαλκηδόνος. Οὗτος ἐκ σπαργάνων καθάρας ἑαυτὸν ἐν ἀσκητικοῖς ἀγῶσιν καὶ τῷ τῆς ἀσκήσεως γάλακτι τραφεὶς καὶ γενόμενος Θεοῦ κατοικητήριον, τῇ θείᾳ ἱερωσύνῃ καλῶς ἐκοσμήθη, ποιμὴν θεοπρόβλητος καταστάς· ὅθεν ἐνστερνισάμενος Θεοῦ τὰ ὅπλα πρὸς ὀχυρωμάτων καθαίρεσιν, πάντων τῶν τὴν Χριστοῦ εἰκόνα ἀθετούντων τὴν ὀφρὺν κατέβαλε καὶ ταύτην ἐτίμησε καὶ προσκυνεῖν ἐξεπαίδευσε, τῆς ὁμολογίας τὸ στέφος ἀναδησάμενος, καὶ ἣν ἐκ παιδὸς εἶχεν εὐλάβειαν μέχρι γήρως συνετήρησεν μηδαμῶς ὕπνῳ ἀμελείας κατασχεθείς, ἀλλὰ δυνάμει θείου Πνεύματος οἰακιζόμενος, πρὸς ἀπαθείας λιμένα

April. 19.

ἐκεῖθέν τε χάριτι Θεοῦ περισωθεὶς ἐν καμίνῳ πυρὸς ἀπορρίπτεται ἅμα Σωκράτει καὶ Διονυσίῳ, καὶ ἀβλαβὴς διαμείνας τῇ εἱρκτῇ ἐναποτίθεται[2]. Καὶ τῇ ἔωθεν σταυρῷ προσπαγεὶς βέλεσι τιτρώσκεται καὶ μέχρι τριῶν διαρκέσας ἡμερῶν τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Ἰωάννου μαθητοῦ τοῦ ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου. Οὗτος ἐξ ἁπαλῶν ὀνύχων τὸν Χριστὸν ἀγαπήσας ἀπῆλθε πρὸς τὸν μέγαν Γρηγόριον τὸν Δεκαπολίτην· καὶ γενόμενος ὑπ' ἐκείνου μοναχός, τοῦ λοιποῦ συνῆν αὐτῷ ἀγωνιζόμενος ἐν πᾶσι καὶ τὸν Θεὸν θεραπεύων. Οὕτω δὲ γέγονεν εἰς ὑπακοὴν περιβόητος καὶ εἰς ὑποταγὴν πειθήνιος καὶ ἑτοιμότατος θεραπευτής, ὡς καὶ τὸν μέγαν Γρηγόριον ἐπ' αὐτῷ χαίρειν καὶ τὸν Θεὸν δοξάζειν. Μετὰ δὲ τὴν τελείωσιν τοῦ ἁγίου Γρηγορίου, ἀπῆλθεν εἰς ξένην χώραν ἄγνωστον διὰ τὸν ξενιτεύσαντα Κύριον καὶ ἐπὶ ξένης[1] τεχθέντα, καὶ ἠγωνίζετο· εἶτα καταλαβὼν τοὺς ἁγίους τόπους ἀπῆλθεν εἰς τὴν τοῦ ἁγίου Χαρίτωνος λαύραν, καὶ ἐπέδωκεν ἑαυτὸν εἰς πλείους ἀγῶνας τῶν ἀρετῶν· καὶ οὕτως ἐν εἰρήνῃ ἀνεπαύσατο.

f. 198.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

April. 20.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Τριχινᾶ. Οὗτος ἦν τῆς Κωνσταντινουπόλεως γέννημα καὶ θρέμμα· πλουσίων δὲ γονέων ὑπάρχων υἱὸς κατέλιπε γονεῖς, πλοῦτον καὶ δόξαν· καὶ ἀπελθὼν ἐν τῇ μονῇ τοῦ Τριχινᾶ γέγονε μοναχὸς καὶ[1] πάσῃ κακουχίᾳ καὶ σκληραγωγίᾳ ἑαυτὸν ὑπέβαλλε[2] καὶ κρύει καὶ παγετῷ πηγνύμενος, ὡς νεκρὸς φαίνεσθαι τοῖς πᾶσιν· δι' ὅλης γὰρ νυκτὸς καὶ ἡμέρας ἵστατο αἴθριος προσευχόμενος. Τριχίνοις καὶ ἁδροῖς ὑφάσμασι τὸ σαρκίον ἐκάλυπτεν[3]· ὅθεν καὶ Τριχινᾶς ἐκ τούτου μετωνομάσθη. Ἦν δὲ ἀνυπόδετος παντελῶς καὶ τὴν κεφαλὴν εἶχεν ἀπερικάλυπτον[4]· διὰ τοῦτο καὶ τὴν τῶν δαιμόνων ἀπεγύμνου ἀπάτην, κατ' αὐτῶν λαβὼν ἐξουσίαν· <καὶ [5]> πολλὰ θαύματα[6] ἀπεργασάμενος πρὸς Κύριον μεθίσταται[7] καὶ μύρον εὐῶδες ὁ τάφος αὐτοῦ ἀναπηγάζει πᾶσι τοῖς προστρέχουσι πόθῳ <καὶ [8]> τὴν σωτηρίαν κομιζομένοις[9].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ἰαννουαρίου καὶ τῶν σὺν αὐτῷ Δησιδερίου[1], Πρόκλου, Σόσσου[2], Φέστου[3], Εὐτυχοῦς καὶ Ἀκουτίωνος[4].

— [2] ἀποτίθεται D.

2. — [1] *corr.* ξένοις S.

1. — [1] (ἦν τῆς - καὶ) *om.* Mc. — [2] ὑποβαλὼν Mc. — [3] (ὡς - ἐκάλυπτεν) τριχίνοις Mc. — [4] (Τρ. - ἀπεκάλυπτον) Τριχινᾶ μετέσχεν ὀνόματος Mc. — [5] *supplevi, om.* S. — [6] θαῦμα S. — [7] (κατ' αὐτῶν - μεθίσταται) *om.* Mc. — [8] *supplevi, om.* S. — [9] (προστρέχουσι - κομιζομένοις) τοῖς προσιοῦσιν ἁμαρτιῶν καὶ νοσημάτων δυσωδίαν ἀποτρεπόμενον Mc.

2. — [1] Δισιδερίου S, *cf. Sept. 19*[3]. — [2] Σόσου S. — [3] Φεύστου S, *al.* Φαύστου. — [4] *al.* Ἀκουστίου.

April. 19.

ὀνύχων θείῳ πόθῳ τρωθεὶς τῷ Θεῷ προσεκολλήθη· καὶ καταλιπὼν τρυφὴν καὶ περιφάνειαν βίου καὶ ἀποξενωθεὶς πατρίδος καὶ τῶν οἰκείων καὶ τὸν σταυρὸν ἀράμενος, ἦλθεν εἰς χώραν ξένην καὶ ἄγνωστον διὰ τὸν ξενιτεύσαντα Κύριον καὶ ἐπὶ ξένης τεχθέντα· καὶ καταλαβὼν τοὺς σεβασμίους τόπους, ἐν τῇ τοῦ μακαρίου Χαρίτωνος ἐπιδημεῖ μάνδρᾳ, κἀκεῖσε πρὸς τοὺς ἀγῶνας ἀποδυσάμενος καὶ καλῶς τελέσας πᾶσαν ἰδέαν ἀρετῆς, τῶν τῇδε μετέστη. — Χριστοφόρου, Θεωνᾶ καὶ Ἀντωνίνου. — **Da** : 2. — **Db** : 2. — **K** : 2. — **N** : 1. — Χριστοφόρου κτλ. — 2. — **Bb** : Κοσμᾶ (April. 18[4]). — 2. — Βίκτωρος κτλ. (April. 20[5]). — Γεωργίου (April. 20[4]). — **Bc** : Χριστοφόρου κτλ. (April. 20[5]). — **C** : vacat. — **Ce** : 2. — **Cg** : Χριστοφόρου κτλ. — **R** : 1. — Βίκτωρος κτλ. — Γεωργίου. — Τρύφωνος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ (April. 20[3]). — **Ra** : Παφνουτίου (Sept. 25[4]). — 1 : Θεοδώρου ἐκ Πέργης τῆς Παμφυλίας. Ὃς ὑπῆρχεν ἐπὶ Ἀντωνίνου, καὶ πρεσβύτερος ὑπάρχων πρὸ χρόνων ἑβδομήκοντα παρὰ τὸν ἅγιον Θεόδωρον τὸν ἐν Ἀμασείᾳ μαρτυρήσαντα καὶ ἐν Εὐχαΐτοις. Οὗτος διὰ τὸ νέον τῆς ἡλικίας εἰς τήρωνας ἐστρατεύθη· ἦν γὰρ τῇ ἡλικίᾳ εὐμήκης, τὴν ὄψιν ἀγαθὸς καὶ χριστιανός. Ὅθεν διαβληθεὶς τύπτεται παρὰ Θεοδότου ἡγεμόνος καὶ ἐπὶ ἐσχάρας πεπυρακτωμένης ἐμβάλλεται καὶ πώλοις ἀγρίοις συνδεθεὶς σύρεται καὶ εἰς κάμινον πυρακτωθεῖσαν μετὰ τῶν συνεπομένων αὐτῷ στρατιωτῶν Σωκράτους καὶ Διονυσίου ἀπορρίπτεται· οἵτινες ἔνδον τῆς καμίνου λόγχαις κατεσφάγησαν. Ἀλλὰ καὶ ἡ μήτηρ τούτου Φιλίππα τὴν κεφαλὴν ἀπετμήθη. Ὁ δὲ ἅγιος Θεόδωρος ἄφλεκτος ἐξελθὼν τῆς καμίνου καὶ σταυρῷ προσπαγεὶς καὶ διαρκέσας ἐπὶ ἡμέρας τρεῖς, ἐν ἀγαλλιάσει τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. — Χριστοφόρου κτλ. — **Rb** : 1. — Χριστοφόρου κτλ. — 2. — **Rc** : 1. — Χριστοφόρου κτλ. — 2. — **Mc** : 2. — Βίκτωρος κτλ. — Οἱ πιστεύσαντες στρατιῶται Σωκράτης καὶ Διωνᾶς λόγχαις νυγέντες τ. — Τρύφωνος. — **Mv** : 1. — Φιλίππα ἡ μήτηρ τοῦ ἁγίου Θεοδώρου ξ. τ. — Σωκράτης καὶ Διονύσιος. — Γεωργίου. — Τρύφωνος ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Τελεῖται δὲ κτλ. — **Mr** : Τοῦ ἁγίου ἱερομάρτυρος Παφνουτίου. — 2.

April. 20.

SYNAXARIA SELECTA. **H** : Ἀναστασίου τοῦ ἐν τῷ Σινᾷ (April. 21[1]). — Παφνουτίου μοναχοῦ (April. 21[3]). — Ἀναστασίου ἐπισκόπου Ἀντιοχείας. — **P** : Ἀναστασίου τοῦ Σινᾶ ὄρους. — Παφνουτίου. — Ἀναστασίου ἐπισκόπου Ἀντιοχείας. — **D** : 1. — Ἀναστασίου ἐν τῷ Σινᾷ ὄρει. — Παφνουτίου. — Ἀναστασίου ἐπισκόπου Ἀντιοχείας. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — Ἀναστασίου (April. 21[1]). — Μαξίμου (April. 21[2]). — **Bb** : 5 (Χριστοφόρου κτλ.). — Ἰωάννου πρεσβυτέρου τοῦ Παλαιολαυρίτου (April. 19[2]). — **Bc** : 1. — Ἀναστασίου τοῦ Σινᾶ ὄρους. — **C** : 1. — Ἀναστασίου τοῦ ἐν τῷ Σινᾷ. — Παφνουτίου. — Ἀναστασίου ἐπισκόπου Ἀντιοχείας. — **Ce** : 1. —



3. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Τρύφωνος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου ἐπισκόπου Ἀντιοχείας τῆς Πισιδίας τοῦ ὁμολογητοῦ. Οὗτος ἦν ἐπὶ τῶν χρόνων τῶν εἰκονομάχων, ἐκ βρέφους τῷ Θεῷ ἀνατεθειμένος καὶ διὰ τὴν ὑπεροχὴν τῆς αὐτοῦ ἀρετῆς ἐπίσκοπος χειροτονηθεὶς Ἀντιοχείας. Ἐπεὶ δὲ τῇ τοῦ διαβόλου πονηρᾷ συμβουλῇ ἡ τῶν εἰκονομάχων αἵρεσις ἐκινήθη καὶ γράμματα πανταχοῦ ἐπέμπετο διὰ τάχους τοὺς ἐπισκόπους ἅπαντας τὴν Κωνσταντινούπολιν καταλαβεῖν, παρεγένετο καὶ αὐτός· καὶ μὴ πεισθεὶς σύμφρων τοῖς αἱρεσιάρχαις γενέσθαι καὶ ἀρνήσασθαι τὴν τῶν ἁγίων εἰκόνων προσκύνησιν, ἐξορίᾳ καὶ κακουχίᾳ θανὼν πρὸς τὸν Θεὸν ἐπεδήμησεν.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Βίκτωρος, Ζωτικοῦ, Ζήνωνος[1], Ἀκινδύνου, Καισαρείου[2], Σευηριανοῦ[3], Χριστοφόρου, Θεωνᾶ καὶ Ἀντωνίνου. Οὗτοι πάντες ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως[4] τὸν τοῦ μαρτυρίου ἀγῶνα διήνυσαν, ὅτε | καὶ ὁ πολύαθλος καὶ[5] μεγαλομάρτυς[6] τοῦ Χριστοῦ καὶ[5] μέγιστος[5] Γεώργιος συλληφθεὶς ἐτιμωρεῖτο καὶ τιμωρούμενος τὰ παράδοξα καὶ[5] φρικτὰ[5] ἐτέλει ἐκεῖνα τέρατα καὶ σημεῖα[7]. Ὁ μὲν γὰρ[5] Βίκτωρ, Ἀκίνδυνος, Ζωτικός, Ζήνων καὶ Σευηριανὸς ἰδόντες τὸν ἅγιον ἐν τῷ μεγίστῳ ὀργάνῳ τῷ[8] τροχῷ βληθέντα καὶ μηδὲν ἀδικηθέντα, μιᾷ φωνῇ χριστιανοὺς ἑαυτοὺς ἀνεκήρυξαν καὶ ξίφει τὰς ἱερὰς αὐτῶν[9] κεφαλὰς ἀπετμήθησαν. Ὁ δέ γε[5] Χριστοφόρος, Θεωνᾶς καὶ Ἀντωνῖνος δορυφόροι ὄντες τοῦ δυσσεβοῦς[5] βασιλέως καὶ παριστάμενοι αὐτῷ ἐν μιᾷ τῶν ἡμερῶν τὸν μεγαλομάρτυρα ἀπηνῶς ἐτάζοντι καὶ δι' αὐτοῦ[10] τὴν τοῦ νεκροῦ ἕλληνος ἀνάστασιν διὰ τῆς προσκλήσεως τοῦ Θεοῦ[11] ἀπαιτοῦντι, ταύτην ἰδόντες ὡς τάχος διὰ προσευχῆς τοῦ ἁγίου γεγενημένην, παραυτίκα ῥίψαντες τὰ ὅπλα καὶ τὰς ζώνας[12] αὐτῶν ἐνώπιον τοῦ βασιλέως καὶ παντὸς τοῦ θεάτρου τὸν Χριστὸν ὡμολόγησαν Θεὸν μόνον εἶναι ἀληθινόν. Διά τοι τοῦτο κρατηθέντες καὶ ἁλύσεσι πεδηθέντες τῇ εἱρκτῇ ἐνεκλείσθησαν. Μεθ' ἡμέρας δέ τινας[13] παραστάντες τῷ τυράννῳ, κρεμασθέντες ξέονται καὶ τὰς πλευρὰς λαμπάσι καταφλέγονται, καὶ τέλος ἐν[14] πυρὶ βληθέντες τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσαντο[15].

f. 198v.

April. 20.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

April. 21.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀναστασίου τοῦ ἐν τῷ Σινᾷ ὄρει[1]. Οὗτος ὁ ἅγιος[2] πατὴρ ἡμῶν καταλιπὼν[3] κόσμον καὶ τὰ ἐν κόσμῳ καὶ τὸν σταυρὸν αὐτοῦ[4] ἀναλαβὼν κατὰ τὴν κυριακὴν ἐντολήν, ἀποκειράμενος προθύμως ἠκολούθησε τῷ Χριστῷ. Μειζόνων δὲ ἀγώνων τῆς[5] ἀρετῆς ἐραστὴς γεγονώς, παραγίνεται εἰς Ἱεροσόλυμα[6] καὶ τοὺς σεβασμίους τόπους πιστῶς προσκυνήσας κατασπασάμενος[7] εἰς τὸ Σινᾶ ὄρος ἀνέρχεται κἀκεῖσε μοναχοὺς εὑρὼν ἄκρως τὴν ἀσκητικὴν[8] πολιτείαν μετιόντας, ἔμεινε μετ' αὐτῶν[9] ὑποτασσόμενος αὐτοῖς καὶ ὑπηρετῶν. Ταπεινόφρων δὲ ἄγαν ἀποκαταστὰς ἐδέξατο χαρίσματα γνώσεως καὶ σοφίας πολλῆς. Καὶ βίους πατέρων ἁγίων[10] συγγραψάμενος καὶ ψυχωφελεῖς λόγους συνθείς, ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου[1] πατρὸς ἡμῶν Μαξίμου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Οὗτος ἐκ τῆς πρεσβυτέρας[2] ὥρμητο | Ῥώμης, <γονέων[3]> υἱὸς γεγονὼς πλουσίων καὶ εὐγενῶν. Κατά τινα δὲ χρείαν τὴν Ῥώμην ἀφεὶς

f. 199.

5. — [1] Ζίνωνος S. — [2] Καισαρίου Mc. — [3] Σεβηριανοῦ Mc. — [4] δυσσεβοῦς Mc. — [5] *om.* Mc. — [6] μάρτυς Mc. — [7] (τέρατα καὶ σ.) καὶ Mc. — [8] τῷ μ. ὀ. τῷ *om.* Mc. — [9] ἱερὰς αὐτῶν *om.* Mc. — [10] δι' αὐτοῦ *om.* Mc. — [11] (διὰ - Θεοῦ) *om.* Mc. — [12] (ταῦτα - ζώνας) ἣν καὶ ὡς τάχος διὰ προσευχῆς ὁ ἅγιος ἀπειργάσατο ἐπεὶ τὸ τεράστιον τοῦτο εἶδον παραυτίκα ῥίψαντες τ. ζ. κ. τ. ὅπλα Mc. — [13] (εἶναι - τινας) ἀληθινὸν εἶναι ὅθεν κρατηθέντες τῇ φυλακῇ ἐνεκλείσθησαν εἶτα μεθ' ἡμέρας Mc. — [14] *om.* Mc. — [15] ἐκομίσαντο Mc.

1. — [1] Ἀ. τοῦ Σιναΐτου Mc, *ad d. Aprilis 20.* — [2] ἐν ἁγίοις Mc. — [3] τὸν *add.* Mc. — [4] *om.* Mc. — [5] καὶ Mc. — [6] εἰς Ἰ. παραγίνεται Mc. — [7] καὶ Mc. — [8] ἀγωγὴν καὶ *add.* Mc. — [9] ἐκείνων Mc. — [10] ἁγίων πατέρων Mc.

2. — [1] ἐν ἁγίοις Mc *ad d. Aprilis 20.* — [2] παλαιᾶς Mc. — [3] *supplevi, om.* S, Mc.

April. 20.

Ἀναστασίου τοῦ ἐν τῷ Σινᾷ. — **Cg** : 1. — Ἀναστασίου τοῦ ἐν τῷ Σινᾷ. — Παφνουτίου. — Ἀναστασίου ἐπισκόπου. — **R** : 1. — **Ra** : 1. — Ἰωάννου τοῦ Παλαιολαυρίτου. — **Rb** : Παφνουτίου. — Ἀναστασίου (April. 21[1]). — **Rc** : Παφνουτίου (Sept. 25[4]). — 1. — Τοῦ ὁσίου Ἀναστασίου. — **Mc** : 1. — Ὁ ὅσιος Παφνούτιος ὁ Ἱεροσολυμίτης ἐν εἰρήνῃ τ. (April. 21[3]). — Ἀλεξάνδρας τῆς βασιλίσσης (April. 21[5]). — Ἀναστασίου Σιναΐτου. — Μαξίμου. — Ἀπολλὼ κτλ. (April. 21[5]). — **Mv** : 1. 5. — Ἰωάννου τοῦ Παλαιολαυρίτου. — Παφνουτίου. — Τοῦ ἁγίου ἱερομάρτυρος Ἀναστασίου Ἀντιοχείας. — Τοῦ ἁγίου ἀποστόλου Ζακχαίου (April. 21[4]). — **Mr** : 1.

April. 21.

SYNAXARIA SELECTA. **H** : 2. 4. 5. — **P** : 2. 5. — **D** : Θεοδώρου τοῦ ἐν Πέργῃ (April. 19[1]). — 2. 4. 5. — **Da** : Θεοδώρου. — **Db** : Θεοδώρου. — **K** : Θεοδώρου. — **N** : Ἰαννουαρίου (April. 20[2]). — 5. — **Bb** : Θεοδώρου τοῦ Τριχινᾶ (April. 20[1]). — 1. — **Bc** : 5 (Ἀλεξάνδρας). — Μιχαίου (April. 22[3]). — 2 (Μαξιμιανοῦ). — 5 (Ἰσαακίου καὶ τῶν σὺν αὐτῷ). — **C** : 5 (Ἀλεξάνδρας). — Μιχαίου. — 2 (Μαξιμιανοῦ). — 5 (Ἀπολλὼ, Ἰσακίου καὶ Κοδράτου). — **Ce** : 5 (Ἀλεξάνδρας. — Ἀπολλὼ κτλ.). — **Cg** : 5 (Ἀλεξάνδρας). — 2. 5 (Ἀπολλὼ κτλ.). — **R** : Ἰαννουαρίου κτλ. — 2. 4. 5. — **Ra** : Ἰαννουαρίου κτλ. — 5. — Ἀνθούσης (April. 18[5]). — **Rb** : 2. — Ἰαννουαρίου κτλ. — Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Τιμοθέου. — 4. 5. — Ἀνθούσης. — **Rc** : Δωρήου καὶ Δωροπιανοῦ[1] (April. 29[3]). — Ἀνθούσης. — **Mc** : Ἰαν-

April. 21. ἐπὶ[4] Κωνσταντινούπολιν παρεγένετο. Βίου δὲ καταστάσει καὶ ἀκριβείᾳ διαλάμψας καὶ εὐφυὴς καὶ πολυμαθὴς[5] ἀναγνωρισθεὶς χειροτονεῖται πρεσβύτερος παρὰ Σισιννίου[6] τοῦ ἀοιδίμου[7] πατριάρχου. Διαρκέσας δὲ μέχρι τῆς[7] καθαιρέσεως[7] Νεστορίου τοῦ αἱρετικοῦ, τοῦ τὸν ἁγιώτατον Σισίννιον διαδεξαμένου, ψήφῳ τοῦ βασιλέως καὶ τοῦ κλήρου[8] παντὸς[9] πατριάρχης προχειρίζεται Κωνσταντινουπόλεως· καὶ καλῶς ποιμάνας τὸ ὑπ' αὐτὸν[10] ποίμνιον ἐπὶ ἔτη δύο καὶ μῆνας πέντε, καὶ τὴν ἐκκλησίαν ἐκ τῶν σκανδάλων διατηρήσας, ἐν εἰρήνῃ[11] ἀνεπαύσατο[12]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς ἁγίοις Ἀποστόλοις.

**3.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παφνουτίου μοναχοῦ.

**4.** Καὶ τοῦ ἁγίου ἀποστόλου Ζακχαίου.

**5.** Καὶ τῶν ἁγίων μαρτύρων Ἰσαακίου, Ἀπολλὼ καὶ Κοδράτου. Οὗτοι οἱ ἅγιοι μάρτυρες θεράποντες ὑπῆρχον τῆς βασιλίσσης Ἀλεξάνδρας. Καὶ ἰδόντες αὐτὴν καταφρονήσασαν δόξης προσκαίρου καὶ βασιλείας φθαρτῆς καὶ βασιλέως θνητοῦ, καὶ προσδραμοῦσαν τῷ Χριστῷ, αὐτοὶ παρρησιασάμενοι ἤλεγξαν τὸν βασιλέα, παράνομον αὐτὸν εἰπόντες, θηριώδη καὶ ὠμόν, ὡς μηδὲ τὴν οἰκείαν γυναῖκα μεθ' ἧς ἐτεκνοποίησεν ἐλεήσαντα. Τότε ὀργισθεὶς ὁ βασιλεὺς προσέταξε τοῖς δημίοις κρατῆσαι αὐτοὺς καὶ τῇ φυλακῇ παραδοῦναι. Καὶ τούτου γενομένου, αὐτὸς δι' ὅλης τῆς νυκτὸς ἐσκέπτετο τὸν κατ' αὐτῶν θάνατον, καὶ τῇ ἕωθεν τῆς φυλακῆς ἐξάγων αὐτοὺς τὰς κεφαλὰς ἐναπέτεμεν. Ἡ δὲ ἁγία βασίλισσα Ἀλεξάνδρα καὶ κυρία αὐτῶν ἦν γυνὴ Διοκλητιανοῦ τοῦ βασιλέως. Ἰδοῦσα καὶ αὐτὴ τὸν ἅγιον μεγαλομάρτυρα Γεώργιον τιμωρούμενον καὶ μετὰ κοντοῦ κατὰ τῆς γαστρὸς πληγέντα καὶ μηδὲν ἀδικηθέντα, εἶτα ἐν τροχῷ παμμεγέθει ὀξέσι βέλεσι διηρμοσμένῳ[1], καὶ αὐτὸν προσδεθέντα ἐν τῷ ὀργάνῳ καὶ διὰ τοῦ κατωφεροῦς ἀπολυθέντα καὶ τὸ σῶμα εἰς πολλὰ κατατμηθέντα καὶ πάλιν διασωθέντα σῶον, καὶ αὖθις ἐμφανισθέντα πάλιν τῷ βασιλεῖ θύοντι τοῖς εἰδώλοις, καὶ τῇ παραδόξῳ θέᾳ ταύτῃ πολλοὺς παρασκευάσαντα ἐλθεῖν τῷ Χριστῷ καὶ πιστεῦσαι, οἵτινες[2] καὶ τὰς κεφαλὰς ἀφῃρέθησαν ἔξω τῆς πόλεως, οἱ δὲ καὶ ἀπεκλείσθησαν | ἐν φυλακαῖς, f. 199v. καταλιποῦσα τὴν δόξαν τῆς βασιλείας, ἐπίστευσε τῷ Χριστῷ καὶ ὡμολόγησεν ἐνώπιον τοῦ βασιλέως ἑαυτὴν χριστιανήν. Προστάξει οὖν τοῦ Διοκλητιανοῦ εἶχεν ταύτην ἡ φυλακή· καὶ αὖθις ἀποφάσεως γενομένης κατὰ τοῦ μεγαλάθλου Γεωργίου, παρεῖναι[3] <κελεύει[4]> καὶ τὴν Ἀλεξάνδραν εἰς τὸ ἀποτμηθῆναι τὰς κεφαλὰς ἄμφω. Τοῦτο μαθοῦσα ἡ τοῦ Χριστοῦ μάρτυς Ἀλεξάνδρα ἔτι οὖσα ἐν τῇ φρουρᾷ, προσευξαμένη κυρίῳ τῷ Θεῷ, παρέδωκε τὴν ἁγίαν ταύτης ψυχὴν εἰς χεῖρας Θεοῦ.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

April. 22. **1.** Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοδώρου τοῦ θαυματουργοῦ, ἐπισκόπου γενομένου Ἀναστασιουπόλεως, τοῦ Συκεώτου[1]. Οὗτος ὑπῆρχε μὲν ἐκ τῆς Γαλατῶν χώρας, ἐκ χωρίου λεγομένου Συκεοῦς[2], ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ παλαιοῦ. Ἐγεννήθη δὲ ἐν τῷ πανδοχείῳ τῆς μητρὸς αὐτοῦ Μαρίας, διὰ κάλλος τοῦ προσώπου αὐτῆς ἐπισπασαμένης πρὸς τὴν αὐτοῦ γέννησιν Κοσμᾶν τινα τῶν βασιλικῶν ταχυδρόμων, ἐξ οὗ γενέσθαι φασὶν τὸν ὅσιον. Κατὰ γὰρ τὴν νύκτα ᾗ συνῆλθεν ἡ τοῦτον τεκοῦσα τῷ ἀνδρί[3], ἔδοξεν ὄναρ ἰδεῖν ἀστέρα ἐξ οὐρανοῦ καταφοιτήσαντα ὑπὸ τὴν αὐτῆς γενέσθαι γαστέρα, ὅπερ ἐδήλου τὴν ὕστερον λαμπρότητα τοῦ παιδός. Τοσοῦτον γὰρ ἐκ βρέφους ἐγένετο ἐνάρετος, ὡς καὶ τὸν ἅγιον Γεώργιον φίλον κτήσασθαι, ἐμφανῶς συλ-

— [4] εἰς Mc. — [5] καὶ *add.* S. — [6] Σισινίου S, Mc. — [7] *om.* Mc. — [8] τοῦ κλήρου *om.* Mc. — [9] τοῦ λαοῦ *add.* Mc. — [10] τὸ ἑαυτοῦ Mc. — [11] ἐν εἰρ. *om.* Mc. — [12] ἐν κυρίῳ *add.* Mc.

5. — [1] διηρμοσμένον S. — [2] αἵτινες S. — [3] παρεῖν τὲ S. — [4] *supplevi, om.* S.

1. — [1] Σικεώτου S. — [2] Σικεοῦς S. — [3] τἀνδρὶ S.

---

April. 21. νουαρίου ἐπισκόπου, Προκούλου, Σόσσου, Φέστου τῶν διακόνων, Δεισιδερίου ἀναγνώστου, Εὐτυχίου καὶ Ἀκουτίωνος. — Θεοδώρου τοῦ ἐν Πέργῃ. Ἐπὶ τῆς βασιλείας Ἀντωνίνου, ἡγεμονεύοντος Θεοδώρου ἐν Πέργῃ τῆς Παμφυλίας, μετὰ πολλῆς σπουδῆς ἐποίουν συλλογὴν νέων εὐειδῶν καὶ ὡραίων εἰς τάξιν τυράννων. Τότε οὖν σὺν ἑτέροις ἱκανοῖς καὶ ὁ μακάριος οὗτος Θεόδωρος κρατηθεὶς ἤχθη τῷ ἡγεμόνι καὶ ἐπιτεθείσης κτλ. Des. : καὶ οἱ μὲν στρατιῶται ἐλογχεύθησαν· ἡ δὲ ἁγία Φιλίππα ξίφει τὴν κεφαλὴν ἀπετμήθη. Ὁ δὲ ἅγιος Θεόδωρος καθηλωθεὶς ἐν τῷ σταυρῷ ἐν τρισὶν ἡμέραις ἀπῃώρητο ζῶν, εἶθ' οὕτως ἀπῆλθε πρὸς Κύριον. Τότε τινὲς τῶν εὐσεβῶν τὰ τῶν ἁγίων λείψανα μύροις καὶ ὀθονίοις περιστείλαντες, ἐν ἐπισήμῳ τόπῳ κατέθεντο. — Ἡ ἁγία Φιλίππα ἡ μήτηρ τοῦ ἁγίου Θεοδώρου ξ. τ. — Ἰαννουαρίου κτλ. — 5 (Ἀλεξάνδρας). — 5 (Ἀπολλὼ κτλ.). — 2. 1. — **Mv** : Ἰαννουαρίου κτλ. — 5 (Ἀλεξάνδρας). — 5 (Ἀπολλὼ κτλ.). — 2. 1. — **Mr** : Ἰαννουαρίου κτλ.

April. 22. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. 2. — **D** : 1 : Θεοδώρου θαυματουργοῦ ἐπισκόπου Ἀναστασιουπόλεως. Οὗτος ὥρμητο ἐκ τῆς Γαλατῶν χώρας ἐκ χωρίου λεγομένου Συκεοῦς[1], κατὰ τοὺς χρόνους γεννηθεὶς Ἰουστινιανοῦ τοῦ βασιλέως τοῦ πάλαι, δοκῶν μὲν ἔχειν οὐκ ἐπαινούμενον τὸν τῆς γεννήσεως τρόπον, ἀνέγγυον ὄντα καὶ σκότιον[2]. Φασὶ γὰρ ὄψει καλαμυρίᾳ[3] τὴν αὐτοῦ μητέρα Μαρίαν[4] τὸ ὄνομα, ὥρᾳ καὶ χάρισι διαλάμπουσαν, ἐφελκύσασθαι Κοσμᾶν τινα τῶν βασιλικῶν ταχυδρό-

[1] *lege* Διοδώρου καὶ Ῥοδοπιανοῦ.

[1] Σικεοῦς D. — [2] σκύτιον D. — [3] *ita* D, *forte legendum* καλλιμόρφῳ. — [4] Μαρία D.



λαλοῦντα αὐτῷ καὶ συμβαδίζοντα, καὶ ταῖς κρείττοσι[4] προσάγειν ἐπιθυμίαις καὶ ὅλως ἐρᾶν τῷ μεγαλομάρτυρι θεῖόν τινα καὶ θαυμαστὸν ἔρωτα. Καὶ πρῶτον[5] μὲν τῷ τῶν μοναχῶν καταλέγεται τάγματι καὶ ἀρχιμανδρίτης καθίσταται· διὰ δὲ τῆς εἰς ἄκρον ἀρετῆς καὶ τῆς τῶν μυρίων θαυμάτων ἐργασίας ἐπὶ τὸ μέγα τῆς ἀρχιερωσύνης ὕψος ἀνάγεται καὶ τὴν ἐκκλησίαν Ἀναστασιουπόλεως ἐγχειρίζεται. Καὶ βασιλεῦσι καὶ ἀρχιερεῦσι θαυμαστὸς φανεὶς καὶ αἰδέσιμος καὶ προθεσπίσας πολλοῖς περὶ τῶν μελλόντων, καταλύει τὸν βίον μειδιάματι σεμνῷ τοὺς παραληψομένους αὐτὸν ἀγγέλους δεξιωσάμενος. Λέγεται δὲ αὐτῷ μικρὸν πρὸ τῆς τελευτῆς ὄναρ ἐπιστῆναι τὸν ἔνδοξον μεγαλομάρτυρα Γεώργιον ἐγχειρίζοντα βακτηρίαν, καὶ αὖθις ἐποχούμενον ἵππον καὶ ἐπισυρόμενον ἕτερον, εἰς ὃν ἐκέλευεν ἐπιβῆναι τὸν ὅσιον, τὴν ἐκεῖθεν πορείαν διὰ f. 200. τῶν θαυμάτων | προφαίνοντα. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

**2.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἀποστόλου Ναθαναήλ. Ὃς[1] ἦν ἀπὸ Κανᾶ πόλεως τῆς Γαλιλαίας, ἔνθα ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κληθεὶς εἰς γάμον[2] μετὰ τῆς παναχράντου αὐτοῦ μητρὸς τὸ πρῶτον θαῦμα ἐποίησε, τὸ ὕδωρ εἰς οἶνον μεταβαλών. Προσεδέχετο δὲ καὶ αὐτὸς[3] τὴν παρουσίαν τοῦ Χριστοῦ ὡς νομομαθής. Ὃν εὑρὼν April. 22. Φίλιππος ὁ ἀπὸ Βηθσαϊδὰ καὶ γινώσκων[4] ὅτι προσδέχεται τὴν παρουσίαν[5] τοῦ Χριστοῦ, μετὰ περιχαρείας εἶπεν αὐτῷ· « Ὃν ἔγραψε Μωσῆς Io. 1, 46. » ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν, Ἰησοῦν » τὸν υἱὸν Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ[6]. » Ἀπελθὼν οὖν καὶ ἰδὼν τὸν Χριστὸν καὶ[7] πιστεύσας ἐπ' αὐτῷ[8] ἠκολούθει αὐτῷ· καὶ μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν καὶ[7] ἀνάληψιν[7] κηρύττων αὐτὸν ὡς Θεόν, ἐτελειώθη.

**3.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου προφήτου Μιχαίου. Οὗτος εἷς τῶν ἑξκαίδεκα προφητῶν ἦν ἐκ φυλῆς Ἐφραΐμ. Διελέγχων δὲ τὸν βασιλέα Ἀχαὰβ ἐπὶ πολλαῖς καὶ διαφόροις παρανομίαις, ἐμισεῖτο μὲν παρ' αὐτοῦ, οὐκ ἐφονεύετο δέ, φοβουμένου τὸν Θεὸν καὶ αἰδουμένου τὴν ἀρετὴν τοῦ προφήτου. Ὅμως ὁ προφήτης φοβούμενος ὑπεχώρει καὶ διέτριβεν ἐν τοῖς ὄρεσι τὸ πλεῖον τοῦ χρόνου, ἵνα μὴ συχνῶς ἐμφανιζόμενος τῷ βασιλεῖ καὶ διελέγχων αὐτόν, πρὸς φόνον τὸν θυμὸν αὐτοῦ καθοπλίσῃ. Μετὰ δὲ τελευτὴν Ἀχαὰβ ἐλέγξας τὸν υἱὸν αὐτοῦ Ἰωρὰμ ἐπὶ ταῖς ὁμοίαις παρανομίαις, νέον ὄντα καὶ μὴ ὑπομεμενηκότα τὸν ἔλεγχον τοῦ προφήτου, ἐκρατήθη· καὶ ἀναιρεθεὶς ἐρρίφη ἐν τῷ σύνεγγυς κρημνῷ, καὶ ὑπὸ τῶν συγγενῶν[1] αὐτοῦ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ ἐντίμως.

— [4] κρείττεσσι S. — [5] πρώτῳ S.

2. — [1] ἀνάμνησις τῆς πρὸς Χριστὸν ἀναγνωρίσεως τοῦ ἁγίου ἀποστόλου Ν. ὅς ἐστι Σίμων ὁ Ζηλώτης οὗτος Mc. — [2] ἔνθα ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν εἰς γ. κ. Mc. — [3] ἦν δὲ καὶ αὐτὸς προσδεχόμενος Mc. — [4] εἰδὼς Mc. — [5] παρρουσίαν S. — [6] Ναζέτ S. — [7] *om.* Mc. — [8] ἐπίστευσεν αὐτῷ καὶ ἠκολούθει Mc.

3. — [1] συγκενῶν S.

---

μων· ἐξ οὗ φασι γενέσθαι τὸν ὅσιον, ἀποκρύψαντα δὲ τοῖς μετὰ τὴν γέννησιν, εἴ τι πρὸς αὐτῆς ἄδοξον ἦν καὶ ἐπίψογον. Εὐθὺς μὲν γὰρ κατὰ τὴν νύκτα, ᾗ[5] συνῆλθεν ἡ τοῦτον τεκοῦσα τῷ ἀνδρί[6], ἔδοξεν ὄναρ ἀστέρα καταφοιτήσαντα ὑπὸ τὴν αὐτῆς γενέσθαι γαστέρα, ὅπερ ἐδήλου τὴν ὕστερον λαμπρότητα τοῦ ἀνδρός. Ἀλλ' αὐτὸς οὐκ εἰκάζειν τοῦτο μᾶλλον ἢ πιστεύειν τοὺς τότε πεποίηκεν, παρασχὼν ἑαυτὸν[7] ἐκ πρώτης ἡλικίας Θεῷ προσφιλῆ καὶ τῷ ἁγίῳ μάρτυρι Γεωργίῳ, ὡς δοκεῖν αὐτῷ συνεῖναι καὶ διαπαιδαγωγεῖν καὶ ταῖς κρείττοσι προσάγειν ἐπιθυμίαις, καὶ ὅλως ἐρᾶν αὐτοῦ θεῖόν τινα καὶ θαυμαστὸν ἔρωτα. Οὕτως οὖν ταῖς κατὰ μέρος ἀναβάσεσι προσαγόμενος, πρῶτον μὲν τῷ τῶν μοναχῶν καταλέγεται τάγματι καὶ ἀρχιμανδρίτης καθίσταται· εἶτα δι' ὧν ἔδει τοὺς εἰς τὸ ἀκρότατον τῆς ἀρετῆς βαδίζειν ἐπειγομένους διελθὼν καὶ ἀπόδειξιν τῆς τελείας ἀρετῆς καὶ πρὸς Θεὸν οἰκειώσεως τὴν τῶν θαυμάτων πλουτήσας ἐνέργειαν, ἐπὶ τὸ μέγα τῆς ἀρχιερωσύνης ὕψος ἀνάγεται καὶ τὴν ἐκκλησίαν Ἀναστασιουπόλεως ἐγχειρίζεται· ἔνθα πολλοὺς τὴν θεογνωσίαν παιδεύσας καὶ ἃ προσήκει πράττειν ὑφηγησάμενος καὶ πανταχοῦ διὰ τῶν θαυμάτων τὸ ὁμόφυλον θεραπεύσας καὶ ταῖς μεγάλαις παραδοξοποιΐαις, ἃς οὐ ῥᾴδιον γραφῇ παραδοῦναι, πάντας ἐκπλήξας καὶ βασιλεῦσι καὶ ἀρχιερεῦσι θαυμαστὸς φανεὶς καὶ ποθούμενος, καὶ προθεσπίσας πολλοῖς περὶ τῶν μελλόντων, καταλύει τὸν βίον μειδιάματι σεμνῷ τοὺς παραληψομένους αὐτὸν ἀγγέλους δεξιωσάμενος. Λέγεται δὲ αὐτῷ μικρὸν πρὸ τῆς τελευτῆς ὄναρ ἐπιστῆναι τὸν ἔνδοξον μάρτυρα Γεώργιον ἐγχειρίζοντα βακτηρίαν· καὶ αὖθις ἐποχούμενον ἵππῳ καὶ ἐπισυρόμενον ἕτερον, εἰς ὃν ἐκέλευσεν ἐπιβῆναι τὸν ὅσιον, τὴν ἐκεῖθεν πορείαν διὰ τῶν θεαμάτων προφαίνοντα. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τῷ ὄντι ἐν τῷ Δευτέρῳ. — 2. — **Da** : 1. 2. — **Db** : 1. — **K** : 1. — **N** : 1. 2. — **Bb** : Ἀλεξάνδρας (April. 21[5]). — 3. — Μαξιμιανοῦ πατριάρχου Κωνσταντινουπόλεως (April. 21[2]). — Ἰσαακίου καὶ τῶν σὺν αὐτῷ (April. 21[5]). — 1. 2. — **C** : 1. 2. — **Ce** : 1. 2. — **Cg** : 1. 2. — **R** : 1. — **Ra** : 1. 2. — **Rb** : 1. 2. — **Rc** : 1. 2. — **Mc** : 1. — Ὁ ἅγιος μάρτυς Νέαρχος π. τ. — 2. — Ἀπελλοῦς, Λουκᾶ καὶ Κλήμεντος. Ἀπελλῆς οὗτός ἐστιν οὐχ ὁ Ἡρακλείας ἐπίσκοπος, ἀλλ' ὁ γεγονὼς πρῶτος ἐπίσκοπος Σμύρνης καὶ πολλὰ κοπιάσας ἐν τῷ κηρύγματι, καὶ Λουκᾶς οὐχ ὁ τὰς πράξεις τῶν ἀποστόλων συγγραψάμενος, ἀλλ' ὁ Λαοδικείας τῆς ἐν Συρίᾳ ἐπίσκοπος, Κλήμης δὲ ὁ ἐξ ἐθνῶν προσελθὼν καὶ πιστεύσας καὶ ἐν Σάρδει γεγονὼς ἐπίσκοπος. Οὗτοι πολλοὺς εἰς θεογνωσίαν ἐπιστρέψαντες καὶ βαπτίσαντες καὶ τῷ Κυρίῳ προσαγαγόντες, πειρασμοῖς οὐκ ὀλίγοις περιπεσόντες πρὸς Κύριον ἐξεδήμησαν. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κυριακὴ τῆς Σαμαρείτιδος. — **Mv** : 1. — Νέαρχος. — 2. — Ἀπελλοῦς, Λουκᾶ καὶ Κλήμεντος. — Ἡ ἐν τῷ Κυρίῳ πάσχα κτλ. — **Mr** : 1.

— [5] ἦν D. — [6] τ' ἀνδρὶ D. — [7] ἑαυτῷ D.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

APRIL. 23.

1. Ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Γεωργίου. Οὗτος [1] ὁ ἔνδοξος καὶ θαυμαστὸς καὶ μέγας μάρτυς Γεώργιος ἦν κατὰ τοὺς χρόνους [2] Διοκλητιανοῦ τοῦ βασιλέως, ἐκ χώρας τῆς Καππαδοκῶν, γένους ἐπισήμου καὶ [3] λαμπροῦ [3], ἐν ταῖς τῶν τριβούνων στρατείαις διαπρέψας· ἐν ᾧ δὲ ἀθλεῖν ἔμελλε, κόμης ἦν τὴν ἀξίαν [4]. Τοῦ οὖν βασιλέως κατὰ τῶν χριστιανῶν ὠδίνοντος [5] πόλεμον καὶ δόγμα ἐξενεγκόντος τοὺς μὲν ἐξομνυμένους τὸν Χριστὸν καὶ ἀθετοῦντας τιμῶν | (f. 200v.) βασιλικῶν ἀξιοῦσθαι, τοῖς δὲ μὴ πειθομένοις θάνατον εἶναι τὴν ζημίαν, αὐτὸς παρὼν ὁ ἅγιος χριστιανὸν ἑαυτὸν ἀνεκήρυξε, τὴν τῶν εἰδώλων ματαιότητα καὶ ἀσθένειαν διελέγχων καὶ μυκτηρίζων τοὺς πιστεύοντας ἐπ' αὐτοῖς. Ἐπεὶ δὲ οὔτε κολακείαις οὔτε ὑποσχέσεσι τοῦ τυράννου, ἃς πολλὰς ἐποιεῖτο, ἐπεστρέφετο ἀλλὰ δῆλος ἦν πάντων ὑπερορῶν, πρῶτον μὲν κοντῷ κατὰ τῆς γαστρὸς διελαύνεται· τοῦ δὲ τῆς μὲν [6] σαρκὸς ἀψαμένου, ὥστε καὶ πολὺ αἷμα καταρρεῦσαι, ἀποστραφείσης δὲ τῆς αἰχμῆς, διέμεινεν ὁ ἅγιος ἀβλαβής· εἶτα ἐν τροχῷ ἀκμαῖς σιδήρων διηρμοσμένῳ δεθείς, κατὰ πρανοῦς τοῦ πεδίου ἀφίεται, καὶ τὸ σῶμα εἰς πολλὰ μερισθεὶς αὖθις ὑγιὴς καθίσταται θείου [7] ἀγγέλου ἐπιστασίᾳ. Ἐμφανισθεὶς δὲ τῷ βασιλεῖ καὶ Μαγνητίῳ τῷ [8] συνέδρῳ [8] θύουσιν, ἐπὶ τῷ σῶος φανῆναι [9] πολλοὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπεσπάσατο [10], οἵ, τοῦ βασιλέως προστάξαντος, ἔξω τῆς πόλεως τὰς κεφαλὰς ἀπετμήθησαν. Προσῆλθε δὲ τῷ Χριστῷ καὶ [8] ἡ βασίλισσα Ἀλεξάνδρα [11] καὶ τοῦ τυράννου ἐνώπιον Θεὸν εἶναι [8] αὐτὸν ὡμολόγησεν. Ἐπίστευσαν δὲ καὶ ἕτεροι πολλοὶ τῷ Χριστῷ, ἀβλαβῆ τὸν ἅγιον μάρτυρα ἐξελθόντα μετὰ τρεῖς ἡμέρας ἐκ τοῦ λάκκου τῆς ἀσβέστου ἰδόντες, ἐν ᾧ, προστάξαντος τοῦ βασιλέως, ἐβλήθη. Μετὰ ταῦτα κρηπῖσι σιδηροῦς ἥλους ἐχούσαις [12] τοὺς πόδας ἁρμόζεται καὶ τρέχειν καταναγκάζεται, καὶ προσέτι ξηροῖς νεύροις βοῶν τύπτεται ἀφειδῶς. Ἐπιζητήσαντος δὲ τοῦ Μαγνεντίου [13] σημεῖον, εἰ ἀνασταίη τις τῶν κειμένων ἐν τῇ φαινομένῃ σορῷ τῶν πρὸ πολλοῦ τὸν βίον λιπόντων, εὐξαμένου τοῦ ἁγίου, προῆλθέ [14] τις ἀρθέντος τοῦ ἐπὶ τὸν [15] τάφον [16]

1. — [1] *om.* D. — [2] κ. τ. χ. ἦν D. — [3] *om.* D. — [4] τάξιν D. — [5] ὠδίνοντα D. — [6] τῆς *add.* S. — [7] θίου D. — [8] *om.* D. — [9] ὁ ἅγιος *add.* D. — [10] ἐπεσπάσατο πίστιν D. — [11] Ἀλεξανδρία D *et* S *ante corr.* — [12] ἔχουσι D. — [13] *in ras.* D. — [14] προσῆλθεν D. — [15] τῷ D. — [16] ταφῷ D.

APRIL. 23.

SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — **Bc** : 1. — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1 : Γεωργίου. Ὁ ἔνδοξος καὶ θαυμαστὸς καὶ μέγας Γεώργιος κατὰ τοὺς χρόνους ἦν Διοκλητιανοῦ ... ἐν τῷ Δευτέρῳ. Πολλῶν δὲ ὄντων καὶ σχεδὸν ἀριθμοῦ κρειττόνων τῶν θαυμάτων καὶ τεραστίων, οἷς ὁ ἀγαθὸς δεσπότης Θεὸς τὸν μεγαλομάρτυρα τοῦτον ἐξαιρέτως ἐδόξασεν, ἀναγκαῖον ἂν εἴη ἑνὸς ἢ δύο ἐκ τούτων ἐπιμνησθῆναι καὶ ὡς ἥδυσμά τι χαρίεν παραθεῖναι ταῖς τῶν φιλοθέων ψυχαῖς, καὶ οὕτω καταπαῦσαι τὸν λόγον. Ἐν τοῖς μέρεσι τῆς Συρίας πόλις ἐστὶν ἥτις ὀνομάζεται Ῥάβλιον· ἐν ταύτῃ οὖν ναὸς ᾠκοδόμητο τῷ μεγαλομάρτυρι Γεωργίῳ. Διὰ δὲ τὸ μὴ εἶναι κατὰ χώραν τόπον λατομίων εἰς κατασκευὴν κιόνων, συνήχθησαν ἀπὸ μακροῦ διαστήματος οἱ ἐν τῷ ναῷ στησόμενοι κίονες. Καὶ ἐπεὶ συνδρομὴ ἦν καὶ συνέλευσις οὐ μικρὰ ἐπὶ τῇ τῶν κιόνων εὑρέσει καὶ μετακομιδῇ, γυνή τις θεοφιλὴς καὶ πίστιν ὅτι θερμὴν εἰς τὸν ἅγιον Γεώργιον τρέφουσα, ἐξωνήσατο καὶ αὐτὴ ἕνα κίονα ὅμοιον τοῖς εὐτρεπισθεῖσι· καὶ καταγαγοῦσα αὐτὸν ἐν τῷ αἰγιαλῷ ἐδέετο τοῦ τὴν φροντίδα τῶν λοιπῶν κιόνων ἀναδεξαμένου ἀνακομισθῆναι μετὰ τῶν ἄλλων καὶ τὸν ἐξωνηθέντα παρ' αὐτῆς κίονα· ὁ δὲ οὐκ ἐπείσθη ἀλλὰ τοὺς ἰδίους μόνους ἐν σχεδίᾳ θείς, ἀπέπλευσε. Τότε ἐξ ἀθυμίας ἡ γυνὴ τῇ γῇ ἑαυτὴν καταβαλοῦσα ἀπωδύρετο καὶ τὸν ἅγιον παρεκάλει εὐοδωθῆναι αὐτὴν ἐπὶ τῇ τοῦ κίονος μετακομιδῇ. Ὡς οὖν οὕτως εἶχε περιπαθῶς, ἔδοξε τὸν ἅγιον ὄναρ ἐλθεῖν ἐν σχήματι στρατηλάτου καὶ ἀναστῆσαι αὐτὴν καὶ εἰπεῖν· « Τίς σου ἡ θλῖψις, ὦ γύναι; φράσον ἡμῖν· » τὴν δὲ διασαφῆσαι τὸ τῆς ἀθυμίας αἴτιον· καὶ τὸν ἅγιον καταβάντα τοῦ ἵππου εἰπεῖν πρὸς τὴν γυναῖκα· « Ποῦ θέλεις στῆναι τὸν κίονα; » τὴν δέ· « Εἰς » τὰ δεξιὰ μέρη τοῦ ναοῦ » ἀποκρίνασθαι· καὶ τὸν ἅγιον εὐθέως τῷ δακτύλῳ αὐτοῦ διεγχαράξαι τῷ κίονι· « Δεξιὸς στήτω δεύτερος στύλος τῆς χήρας· » καὶ κουφίσαντος τὸ πρὸς τὴν θάλασσαν μέρος τοῦ κίονος, εἰπεῖν τῇ γυναικί· « Βοήθησον καὶ αὐτή· » καὶ κουφισθέντα τὸν κίονα δι' ἀμφοτέρων ἐμβληθῆναι τῇ θαλάσσῃ καὶ τῇ τοῦ ἁγίου κυβερνήσει προκαταλαβεῖν καὶ εὑρεθῆναι πρωΐας κείμενον ἐν τῷ αἰγιαλῷ τοῦ λιμένος. Ὃν ἰδὼν ὁ βασιλικὸς ἐξεπλάγη· καὶ μᾶλλον, ὡς εἶδε καὶ τὴν γραφὴν διοριζομένην καὶ τὸν τόπον, ἐν ᾧ σταθῆναι ὀφείλει. Εὐχαριστήσας οὖν τῷ Θεῷ ἐζήτει καὶ παρὰ τοῦ ἁγίου τὸ τῆς ἀπειθείας συγχωρηθῆναί οἱ ἁμάρτημα· καὶ λαβὼν δι' ὀπτασίας καὶ οὗτος τὴν ἀπὸ τοῦ ἁγίου συμπάθειαν, ἔστησε μετὰ τῶν ἄλλων καὶ τὸν τῆς χήρας κίονα, εἰς ὃν τόπον ἡ ἐγχαραχθεῖσα τοῦ ἁγίου γραφὴ παρεκελεύσατο· ὃς καὶ ἵσταται μέχρι τοῦ παρόντος εἰς μνήμην τῆς γυναικὸς ἄληκτον καὶ τοῦ μαρτυρικοῦ θαύματος ἔκπληξιν. Τὸ δὲ γενόμενον ἐν Μιτυλήνῃ πᾶσαν ἀκοὴν καὶ ἔννοιαν καταπλήττει. Ἐν ταύτῃ γὰρ τῇ νήσῳ ναός ἐστι τοῦ μεγαλομάρτυρος Γεωργίου ἐνδοξότατος καὶ περιφανής· εἴωθεν οὖν κατ' ἐνιαυτὸν ἐν τῇ μνήμῃ τοῦ ἁγίου πλῆθος λαοῦ οὐκ ὀλίγον συνέρχεσθαι καὶ πανηγυρίζειν. Οἱ τῆς Κρήτης οὖν Ἀγαρηνοὶ τοῦτο μεμαθηκότες ἐπέθεντο τοῖς ἐν τῇ νήσῳ πρὸς ἑσπέραν, ἐν τῷ καιρῷ τῆς παννυχίδος· καὶ ὅσους μὲν ἐντὸς τοῦ ναοῦ εὗρον, δήσαντες κατέσχον· ἀπὸ δὲ τῶν ἔξωθέν τινας, ὡς τῶν πλειόνων φυγῇ χρησαμένων· καὶ τέως τοὺς κατασχεθέντας ἀπήγαγον ἐν τῇ Κρήτῃ. Ἐν οἷς καὶ



καλύμματος καὶ τὸν ἅγιον προσεκύνησε, καὶ ἐδόξασε τὴν θεότητα τοῦ Χριστοῦ. Καὶ τοῦ βασιλέως διερωτήσαντος, τίς τέ ἐστι καὶ πότε τὸν βίον ἀπέλιπε, τῶν πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ βιωσάντων εἶπεν εἶναι, καὶ διὰ τὴν πρὸς τὰ εἴδωλα πλάνην ἐν τοσούτοις ἤδη χρόνοις πυρὶ κατακαίεσθαι. Ἐφ' ᾧ πολλῶν εἰς τὸν Χριστὸν πιστευσάντων [17] ἀεὶ προστιθεμένων [18] τῇ πίστει, ἐν οἷς ἦν καὶ Γλυκέριος, οὗ τὸν βοῦν τελευτήσαντα ὁ ἅγιος ἤγειρε· | (f. 201.) τῷ δὲ τοιούτῳ θαύματι ὁ Γλυκέριος τὴν εἰς Χριστὸν πίστιν βεβαιωθεὶς τὸν διὰ τοῦ μαρτυρίου στέφανον ἐκομίσατο, ξίφεσιν ὑπὸ τῶν ἀπίστων κατὰ μέρος διατμηθείς. Πολλῶν οὖν ἐπὶ τούτοις τῷ Χριστῷ προσερχομένων καὶ ἔτι διὰ τὸ τὸν ἅγιον μάρτυρα Γεώργιον εἰσελθόντα ἐν τῷ ναῷ τῶν εἰδώλων ἑνὶ τῶν ξοάνων εἰπεῖν προστάξαι, εἰ αὐτὸ εἴη θεὸς καὶ αὐτὸ δεῖ προσκυνεῖν· τὸν δὲ ἐν αὐτῷ δαίμονα ἀνολοφυράμενον ἀποκρίνασθαι [19], ὡς μόνος ἐστὶ Θεὸς ὁ Χριστός· καὶ ἐν [20] τούτῳ ταραχθέντα πάντα τὰ εἴδωλα καταπεσεῖν καὶ συντριβῆναι· μηκέτι ἐνεγκεῖν τοὺς λατρευτὰς τῶν δαιμόνων, ἀλλὰ κρατήσαντας τὸν ἅγιον ἐνεγκεῖν πρὸς τὸν βασιλέα καὶ θᾶττον τὴν κατ' αὐτοῦ ἀπόφασιν ἐξαιτήσασθαι. Τοῦ δὲ βασιλέως προστάξαντος αὐτόν τε καὶ τὴν βασίλισσαν Ἀλεξάνδραν [21] διὰ ξίφους ἀναιρεθῆναι, ὁ μὲν ἅγιος τὴν κεφαλὴν ἀπετμήθη· ἐκείνη δὲ εὐξαμένη τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἐν τῷ Δευτέρῳ [22].

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

APRIL. 24.

1. Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Ἐλισάβετ [1] τῆς θαυματουργοῦ. Ἥτις [2] ἐν ἁπαλῷ τῷ σώματι ἀσκητικοὺς πόνους [3] ὑπελθοῦσα χάριν ἰαμάτων παρὰ Χριστοῦ [4] ἐκομίσατο, ὅθεν καὶ [5] παντοῖα νοσήματα ἰάσατο [6]. Ταύτης ἡ γέννησις διὰ θείας ἀποκαλύψεως ἐδηλώθη, καὶ σκεῦος ἐκλογῆς ἔσεσθαι προηγγέλθη. Αὕτη μονοχίτων οὖσα τῷ κρύει καὶ τῷ παγετῷ κατεπήγνυτο [7], ὕδατι τὸ σῶμα διὰ βίου παντὸς οὐκ ἀπέπλυνε, ὡς Μωϋσῆς καὶ Ἠλίας [8] τεσσαράκοντα ἡμέρας νῆστις διετέλεσεν ἐπὶ τρισὶν ἔτεσι. Τὴν μὲν καρδίαν ἔσχε πρὸς τὸν ἐν οὐρανοῖς κατοικοῦντα Θεόν· τοῖς δὲ σωματικοῖς ὀφθαλμοῖς οὐδ' ὅλως εἶδεν οὐρανοῦ κάλλος καὶ [9] μέγεθος. Ὄφιν μέγιστον καὶ δεινὸν προσευχῇ ἐθα-

— [17] καὶ *add.* D. — [18] προτιθεμένων S. — [19] ἀποκριθῆναι D. — [20] ἐπὶ D. — [21] Ἀλεξάνδρειαν D, *et* S *ante corr.* — [22] ἔωθεν ἀπὸ τῆς μεγάλης ἐκκλησίας τῆς λιτῆς ἐν τῷ φόρῳ ἀνερχομένης καὶ μετὰ τὰς ἐκεῖσε συνήθεις εὐχὰς παραγενομένης ἐν τῇ εἰρημένῃ συνάξει *add.* D.

1. — [1] τῆς ἁγίας Ἐ. Mc. — [2] αὕτη Mc. — [3] πόνους ἀ. Mc. — [4] Θεοῦ Mc. — [5] (ὅθεν καὶ) δι' ἧς Mc. — [6] (v. l.) ἐξιᾶτο v. Mc. — [7] διεπήγνυτο Mc. — [8] (ὡς - Ἠλίας) *om.* Mc. — [9] (τὴν μὲν - κάλλος καὶ) τῇ πρὸς Θεὸν ἀδολεσχοῦσα ἀμετεωρίστῳ νεύσει καὶ θεωρίᾳ τοῖς σωματικοῖς ὀφθ. οὐδ' ὅλως εἶδεν οὐρανοῦ κάλλος ἢ Mc.

APRIL. 23.

νεανίσκος τις ἦν, ὃς ἀπεχαρίσθη τῷ ἀμηρᾷ παρὰ τοῦ κατασχόντος αὐτὸν Ἀγαρηνοῦ. Χρόνου δὲ παραδραμόντος καὶ τῆς ἑορτῆς ἐπιστάσης τοῦ μεγαλομάρτυρος Γεωργίου, ὁ μὲν νεανίσκος ἦν ἐξυπηρετῶν τῷ ἀμηρᾷ, οἱ δὲ τούτου γονεῖς μηδὲν ἐπὶ τῇ πίστει παρακλαπέντες μηδὲ ἀγνωμονήσαντες ἕνεκεν τῆς τοῦ υἱοῦ αὐτῶν ἀπωλείας, ἀλλ' ἐπὶ Κύριον τὰς ἐλπίδας θέμενοι καὶ τῷ ἁγίῳ εὐχαριστοῦντες καὶ τὴν ἑορτὴν τοῦ ἁγίου τελέσαντες συνήθως, ἐξῆλθον ἐφ' ᾧ τοὺς προσκληθέντας εἰς ἑστίασιν ἀνακλῖναι. Ἀλλ' ἡ μήτηρ τοῦ νεανίσκου ἐναπολειφθεῖσα ἐν τῷ ναῷ, ἐπὶ τοῦ ἐδάφους ἑαυτὴν ἔρριψεν ἐξοχλοῦσα καὶ δυσωποῦσα τὸν ἅγιον ἀναρρύσασθαι τὸν υἱὸν αὐτῆς ἀπὸ τῆς αἰχμαλωσίας τρόποις οἷς οἶδε, τῇ παντοδυνάμῳ καὶ θείᾳ χάριτι. Καὶ ὁ ταχὺς εἰς ἀντίληψιν τὰ τῆς γυναικὸς μὴ παριδὼν δάκρυα, ἀπτέρῳ τάχει τὴν Κρήτην καταλαβὼν ἐπανασώζει τοῖς οἰκείοις τὸν παῖδα. Ἐπεὶ γὰρ ἐκείνῃ τε τὰ τῆς εὐχῆς ἐν τῷ ναῷ τέλος εἶχε καὶ τῆς τραπέζης ἀρθείσης ὁ ἀνὴρ τὴν τοῦ ἁγίου ἀντίληψιν καὶ βοήθειαν ὡς ἔθος εὐφημήσας προυβάλετο καὶ οἱ τὸν ἄκρατον ἐγχέοντες ἕτοιμοι παρειστήκεισαν, τότε δὴ θείᾳ νεύσει τερατούργημα γίνεται ὑπερφυὲς καὶ παράδοξον καὶ τοῖς ἀμυήτοις τῶν τοῦ Θεοῦ παραδόξων ἔργων σχεδὸν ἄπιστον· ἀλλ' εἰ πρὸς τὸν Ἀββακοὺμ ἀπιδών τις ἐννοήσει, ὅπως δι' ἀγγέλου ἁρπαγεὶς μιᾷ καιροῦ ῥοπῇ ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα εὑρέθη, οὐδὲ τῷ παρόντι ἂν οἶμαι διαπιστήσειε θαύματι. Ἀλλ' ἐπειδὴ οἱ δαιτυμόνες, ὡς ἔφημεν, ἐπὶ τῇ πρὸς τὸν ἅγιον εὐχαριστίᾳ κρατήρων μετασχεῖν ἔμελλον, αὐτῇ δὴ ταύτῃ τῇ ὥρᾳ καὶ ὁ νεανίσκος κατὰ τὴν Κρήτην ὢν καὶ ἐγχέων οἶνον εἰς κύλικα καὶ τῷ ἀμηρᾷ πόσιν ἑτοιμάζων ἤδη προσενεγκεῖν, ὢ καινοτάτου καὶ ὑπερφυοῦς θαύματος, ὢ πολλῆς σου, Χριστὲ σῶτερ, περὶ τὸν μεγαλομάρτυρα χάριτος, εὑρέθη ἐν Μιτυλήνῃ ἐν χειρὶ τὴν κύλικα φέρων καὶ τῇ μητρὶ τὸν οἶνον ἐπιδιδούς. Τοῦτον οὖν πάντες οἱ ἐν τῇ τραπέζῃ θεασάμενοι ἐξεπλάγησαν· ἐρωτήσαντες δέ, ποῦ καὶ πόθεν καὶ πῶς εὑρέθη μέσον αὐτῶν, ταῦτα ἤκουον ἀποκρινομένου· « Τοῦτο γάρ, ἔφη, τὸ ποτή- » ριον οἴνου γεμίσας πρὸς τὸ δοῦναι τῷ ἀμηρᾷ ἐν Κρήτῃ, αἴφνης παρὰ ἀνδρὸς ἁρπαγεὶς ἐνδοξοτάτου » καὶ ἐπικαθίσας τῷ ἵππῳ αὐτοῦ, ἐν μιᾷ μὲν χειρὶ κατέχων τὴν κύλικα, ἐν δὲ τῇ ἄλλῃ τὴν ὀσφὺν αὐτοῦ, » εὑρέθην ὡς ὁρᾶτε μέσον ὑμῶν ». Ταῦτα ἀκούοντες κἀκεῖνον βλέποντες ἐξίσταντο ἐκπληττόμενοι ἐπὶ τῷ παραδόξῳ θεάματι καὶ ἀναστάντες ἀπὸ τῆς τραπέζης, δι' ὅλης τῆς νυκτὸς ὕμνους εὐχαριστηρίους τῷ παντοκράτορι Θεῷ ἀπεδίδουν καὶ τῷ αὐτοῦ ἐνδόξῳ θεράποντι. — Οὐαλέριος ξ. τ. — Ἀνατόλιος ξ. τ. — Πρωτολέων ξ. τ. — Ἀθανάσιος ὁ ἀπὸ μάγων ξ. τ. — Γλυκέριος ὁ γεωργὸς ξ. τ. — **Mv** : 1. — Ἐκ τῶν πολλῶν θαυμάτων τοῦ ἁγίου <Γεωργίου>. — Οὐαλλερίου. — Ἀνατολίου καὶ Πρωτολέοντος στρατηλατῶν. — Ἀθανασίου. — Γλυκερίου. — Οἱ ἅγιοι Δονάτος καὶ Θερινὸς ξ. τ. (April. 24[4]). — **Mr** : 1.

APRIL. 24.

SYNAXARIA SELECTA. **H** : 3. 4. 1. 5. — **P** : 3. — Τοῦ ἁγίου ἀδελφοῦ τοῦ Κυρίου Ἰωσήφ, Συμεών, Μάρθας καὶ Μαρίας (cf. Iun. 6[8]). — 4. 5. — **D** : 2. 3. 4. 1. 5. — **Da** : 2. 1. 3. — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Χαλκηδόνι. — 4. — **Db** : 2. 1. 3. — **K** : 2. 1. 3. — Τῶν ἁγίων μαρτύρων ἐν Χαλκη-

April. 24. νάτωσεν, ἄρτου ἐπὶ πλείστους χρόνους[10] οὐ μετέλαβεν, ἐλαίου οὐδὲ μικρὸν ἀπεγεύσατο[11]· ὑποδήματα τοῖς ποσὶν οὐκ ἐκτήσατο. Ἐν τούτοις τοῖς θεαρέστοις κατορθώμασιν ἀνεπαύσατο ἐν Κυρίῳ, πολλῶν θαυμάτων χάριν μέχρι καὶ τήμερον τοῖς μετὰ πίστεως αὐτῇ προσερχομένοις[12] παρέχουσα· χοῦς γὰρ ἐκ τῆς σοροῦ αὐτῆς λαμβανόμενος πᾶσαν νόσον θεραπεύει[13].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σάβα τοῦ στρατηλάτου. Οὗτος ἦν[1] κατὰ τοὺς f. 201v. χρόνους[2] Αὐρηλιανοῦ[3] τοῦ βασιλέως, | ἐν Ῥώμῃ τὴν τοῦ στρατηλάτου διέπων ἀρχήν· ἦν δὲ τὸ γένος Γότθος. Ἔχων δὲ τὴν εἰς Χριστὸν πίστιν τοὺς ἐν ταῖς φυλακαῖς ἁγίους ἐπεσκέπτετο, καὶ βίου καθαρότητι καὶ ἀσκήσει[4] τὰ πονηρὰ[5] ἐφυγάδευε πνεύματα. Διαβληθεὶς δὲ[6] ἤχθη πρὸς τὸν βασιλέα· καὶ ῥίψας τὴν ζώνην τὸν Χριστὸν ὡμολόγησε[7]. Κρεμασθεὶς οὖν ξέεται καὶ λαμπάσι καίεται· ἔνθα[8] παραδόξως σωθεὶς ἄνδρας ἑβδομήκοντα πρὸς τὴν τοῦ Χριστοῦ[9] ἐπεσπάσατο πίστιν[10]· οἳ καὶ τὰς κεφαλὰς ἀπετμήθησαν. Εἰς δὲ ἑτέραν ἐξέτασιν ὁ ἅγιος προσαχθεὶς ἤδη, τοῦ Χριστοῦ ἐνισχύσαντος αὐτὸν καὶ θαρσοποιήσαντος, ἐν τῇ φρουρᾷ, τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο[11]. Ἐπέπρεπε δὲ αὐτῷ ἐν[10] τῇ τῆς ἡλικίας ἀκμῇ λευκότης σώματος καὶ παρειῶν ἐρύθημα, καὶ ἐν[10] τῇ κεφαλῇ καὶ τῷ πώγωνι οἱονεὶ χρυσίζουσαι τρίχες καὶ διαλάμπουσαι. Αἱ δὲ τῶν ὀφθαλμῶν βολαὶ τὸ[10] βλοσυρὸν καὶ καταπληκτικὸν[12] ἔχουσαι, τὸν ἄνδρα καὶ στρατιώτην ἄκρως ὑπέφαινον.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Πασικράτους καὶ Βαλεντίωνος. Οὗτοι ὑπῆρχον ἐκ Δοροστόλου[1] τῆς Μυσίας ἐν λεγεῶνί τινι στρατευόμενοι, Αὐλοζάνου ἐπαρχοῦντος, χριστιανοὶ ὄντες. Θεωροῦντες οὖν τοὺς εἰδωλολάτρας λίθοις προσκυνοῦντας ἀψύχοις, ἐζήλωσαν καὶ παρρησίᾳ τὸν Χριστὸν Θεὸν ὡμολόγησαν μόνον· τὰ δὲ εἴδωλα ἄψυχον ὕλην εἶναί φασιν. <Ὅθεν[2]> συσχεθέντες ἤχθησαν πρὸς τὸν ἡγεμόνα· καὶ ὑποδειχθέντος τοῦ Ἀπόλλωνος, ἵνα θύσωσι[3], προσεγγίσαντος ὁ Πασικράτης τοῦτο κατέπτυσε. Προσδεθεὶς[4] οὖν ἁλύσεσι, τίθεται ἐν τῇ φρουρᾷ· καὶ προσελθὼν αὐτῷ ὁ ἀδελφὸς αὐτοῦ, ὁ πρὸ μικροῦ διὰ φόβον τὸν Χριστὸν ἀρνησάμενος, συνεβούλευε θῦσαι καὶ ἀπαλλαγῆναι τῶν βασάνων. Ὁ δὲ ἀπώσατο, ἀνάξιον αὐτὸν εἰπὼν τῆς αὐτοῦ συγγενείας. Ἐρωτηθέντος δὲ καὶ τοῦ ἁγίου Βαλεντίωνος καὶ τὰ ὅμοια φρονεῖν τῷ Πασικράτει[5] <εἰπόντος[6]>, τὴν διὰ ξίφους ἀπόφασιν ἀμφότεροι ἔλαβον· ἔνθα συμπροπέμψαι φασὶν τὴν μητέρα τὸν ἅγιον Πασικράτην παραθαρρύνουσαν καὶ ὑποσχεῖν τὸν αὐχένα τῷ ξίφει κελεύουσαν. Ὑπῆρχον δέ, ὅτε τὰς κεφαλὰς ἀπετμήθησαν, ὁ μὲν ἅγιος Πασικράτης ἐτῶν δύο καὶ εἴκοσιν, ὁ δὲ ἅγιος Βαλεντίων τριάκοντα.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐσεβίου, Νέωνος, Λεοντίου, Λογγίνου, Χριστοφόρου, Δημητρίου, | Δανάβου, Δονάτου[1], Θερίνου, Νεστάβου, Νίκης καὶ τῆς συνοδίας αὐτῶν[2]. (f. 202.) Μετὰ τὴν τελευτὴν τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου προσέταξεν ὁ δυσσεβὴς Διοκλητιανὸς πάντας τοὺς εὑρισκομένους χριστιανοὺς καὶ μάλιστα[3] τοὺς δι' αὐτὸν εἰς φυλακὰς ἀποκλεισθέντας ἢ θύοντας τοῖς ψευδωνύμοις θεοῖς ἀπολύεσθαι[4], ἢ τοῦτο μὴ ποιοῦντας ἰσχυρῶς βασανίζεσθαι καὶ τελευταῖον τῇ τοῦ θανάτου παραπέμπεσθαι ψήφῳ. Ἐπεὶ καὶ οὗτοι οἱ ἅγιοι, τὰ παρὰ τοῦ μεγαλομάρτυρος Γεωργίου θεασάμενοι ἐξαίσια θαύματα ἐπίστευσαν τῷ Χριστῷ, καὶ τούτους κατεῖχεν ἡ φυλακή. Εἶθ' οὕτως ἐξενεχθέντες καὶ ἐνώπιον τοῦ τυράννου τὸν Χριστὸν ὡμολόγουν Θεὸν εἶναι ἀληθινόν, γυμνωθέντες καὶ ἐκ τεσσάρων δεσμευθέντες ἐτύφθησαν ἀφειδῶς· ἔπειτα κρεμασθέντες ἐξέσθησαν, ἕως αἱ σάρκες αὐτῶν ἐπὶ τὴν γῆν κατέρρευσαν καὶ τὴν ἔνδοθεν οἰκονομίαν ἀναφανῆναι ἔξωθεν. Τέλος τὰς τιμίας αὐτῶν κεφαλὰς ἀπετμήθησαν καὶ τὰς μακαρίας αὐτῶν ψυχὰς εἰς χεῖρας Θεοῦ ζῶντος ἐναπέθεντο[5].

5. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου ἐν τῷ Κυπαρισσίῳ.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ΄.

April. 25. 1. Ἄθλησις τοῦ ἁγίου καὶ[1] πανευφήμου[1] ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου. Ὁ πανεύφημος ἀπόστολος Μάρκος πάσῃ τῇ[1] Αἰγύπτῳ καὶ Λιβύῃ[2] καὶ Βαρβαρικῇ[3] καὶ Πενταπόλει κατὰ τοὺς

— [10] χρόνοις ἐπὶ π. ἄρτου Mc. — [11] ὅλως ἐλαίου οὐκ ἐγεύσατο Mc. — [12] (κατορθώμασιν - προσερχομένοις) ἔργοις διαλάμψασα ἐν Κυρίῳ ἡ ἀοίδιμος ἀνεπαύσατο πολλῶν θαυμάτων μέχρι καὶ τήμερον τοῖς μ. π. προσερχομένοις αὐτῇ χάριν Mc. — [13] φυγαδεύει Mc.

2. — [1] *om.* Mc. — [2] καιροὺς Mc — [3] Αὐριλιανοῦ S, Αὐριλλιανοῦ Mc. — [4] (τοὺς - ἀσκήσει) τῶν ἐν ταῖς εἱρκταῖς ἁγίων ἐπεμελεῖτο, διὰ δὲ βίου καθαρότητα καὶ ἀρετῆς ἄσκησιν Mc. — [5] ἀπὸ τῶν ἀνθρώπων *add.* Mc — [6] ποτε ὡς χριστιανὸς *add.* Mc. — [7] (τ. Χ. ὠ.) ὠ. τ. Χ. Mc. — [8] (ξέεται - ἔνθα) καίεται ταῖς λαμπάσι καὶ ἐν λέβητι πίσσης μεστῷ πυρωθέντι ἐμβάλλεται καὶ Mc. — [9] εἰς Χριστὸν πίστιν μετεκαλέσατο Mc. — [10] *om.* Mc. — [11] (ἀπετμήθησαν - ἐκομίσατο) ἀποτμηθέντες διὰ Χριστὸν ἐστεφανώθησαν· ὁ δὲ ἅγιος εἰς δευτέραν ἐξέτασιν εἰσαχθεὶς ἐνισχύσαντος αὐτὸν δι' ἐπιφανείας τοῦ Χ. ἐν τῇ φρουρᾷ καὶ θαρσοποιήσαντος τὸν τοῦ μ. στ. ἐκομίσατο Mc. — [12] τι καὶ κατάπληκτον Mc.

3. — [1] Ῥοδοστόλου S. — [2] *supplevi*, *om.* S. — [3] θύσωσοι S. — [4] πρὸς δὲ θέντος S. — [5] Παυσικράτει S *et deinceps*. — [6] *supplevi*, *om.* S.

4. — [1] Δανάτου S. — [2] οὗτοι S. — [3] μάλλιστα S. — [4] ἀπολλύεσθαι S. — [5] ἐναπετέθησαν S.

1. — [1] *om.* Mc. — [2] *corr.*, *prius* Λυβύῃ S. — [3] S, D, Mc, *l.* Μαρμαρικῇ *ut in Passione* Act. SS., *April. t. III, p. XLVI, n. 1.*

---

April. 24. δόνι. — 4. — **N** : 2. 3. 1. 4. — Τῶν ἁγίων ... ἐν Χαλκηδόνι. — **Bb** : 3. 4. 1. — **Bc** : 3. 4. 1. — **C** : 3. 1. 4. — **Ce** : 3. 1. — **Cg** : 3. 1. 4. — **R** : 2. — **Ra** : 2. 1. — **Rb** : 1. — Τῶν ἁγίων μαρτύρων τῶν ἐν Χαλκηδόνι. — 4. — **Rc** : 2. 1. 3 (Πασικράτους καὶ Βαλεντίνου). — **Mc** : 2. — Οἱ διὰ τοῦ ἁγίου Σάβα πιστεύσαντες ο' στρατιῶται ξ. τ. — 1. 3. — **Mv** : 2. — Τῶν ... ο' στρατιωτῶν. — 1. 3. 4. — **Mr** : 1. 2.

April. 25. SYNAXARIA SELECTA. **H** : 1. 2. — Σάβα τοῦ στρατηλάτου (April. 24[2]). — 3. — **P** : Σάβα τοῦ στρατηλάτου, ἐπὶ Αὐρηλιανοῦ βασιλέως ἐν τῇ Ῥωμαίων πόλει, στρατηλάτης τὴν τάξιν, τὸ γένος Γότθος,



χρόνους Τιβερίου Καίσαρος τὸν[4] Χριστοῦ λόγον ἀνεκήρυξε[5]. Συνεγράψατο δὲ καὶ τὸ ἅγιον εὐαγγέλιον, Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων ἐξηγουμένου αὐτό. Καὶ ἐν Κυρήνῃ[6] τῆς Πενταπόλεως γενόμενος πολλὰ κατειργάσατο θαύματα· εἶτα εἰς τὴν κατὰ Φάρον Ἀλεξάνδρειαν ἦλθεν καὶ ἐκεῖθεν εἰς τὴν Πεντάπολιν, πανταχοῦ θαυματουργῶν καὶ τὰς τοῦ Χριστοῦ ἐκκλησίας κατακοσμῶν χειροτονίαις ἐπισκόπων καὶ τῶν[7] λοιπῶν κληρικῶν· ὕστερον δὲ αὖθις εἰς Ἀλεξάνδρειαν ἐλθὼν καί τινας τῶν ἀδελφῶν παρὰ θάλασσαν ἐν τοῖς Βουκόλου[8] εὑρών, συνῆν αὐτοῖς τὸν λόγον τοῦ Χριστοῦ εὐαγγελιζόμενος[9] καὶ κηρύττων. Ἔνθα ἐπελθόντες αὐτῷ οἱ τῶν εἰδώλων θεραπευταὶ[10] μὴ φέροντες ὁρᾶν τὴν εἰς Χριστὸν πίστιν εὐοδουμένην[11], σχοινίοις αὐτὸν[7] διαλαβόντες ἔσυραν[12]. Προσπίπτουσαι δὲ ταῖς πέτραις αἱ σάρκες αὐτοῦ κατεξαίνοντο, καὶ τὸ αἷμα τὴν γῆν ἐφοίνισσεν[13]. Τεθέντι δὲ[14] ἐν f. 202v. τῇ[7] φυλακῇ ὤφθη ὁ Κύριος προϋποφαίνων τὴν | μέλλουσαν αὐτὸν διαδέχεσθαι δόξαν[15]. Μεθ' ἡμέραν δὲ πάλιν σύροντες αὐτὸν[16] κατὰ τῆς πλατείας, ἐν τῷ σπαράττεσθαι καὶ περιδρύπτεσθαι[17] ταῖς πέτραις· τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε[18] καὶ εἰς τὸν εἰρημένον τόπον τὰ Βουκόλου ἀπενεγκόντες ἔθαψαν ἢ μᾶλλον ἔρριψαν. (April. 25.) Τὴν δὲ κατὰ τὴν ἰδέαν[19] διάθεσιν ἦν[20] οὕτως· οὔτε πρὸς ὄγκον καὶ μέγεθος ἄμετρον τὸ σῶμα τετύπωτο, οὐδ' αὖ παντελῶς ταπεινός τις ἦν καὶ συνεσταλμένος, ἀλλ' ἐπέπρεπεν αὐτῷ καὶ συνεπεκόσμει ἐν τῷ μετρίῳ τῆς ἡλικίας ἐπανθοῦσα[21] πολιά, ῥὶς ἐπ' εὐθείας ἠγμένη μακρότερον καὶ οὐ[22] διὰ σιμότητα ἠκρωτηριασμένην καὶ κολοβὴν ὥσπερ τὴν ὄψιν προφαίνουσα[23], ὀφρύες συννεύουσαι, καὶ πώγων βαθύς, καὶ κεφαλῆς ψιλότης[24] καὶ χροίας κρᾶσις ἀρίστη. Προσῆν δὲ αὐτῷ καὶ τὸ συμπαθὲς ἄγαν καὶ τὸ πρὸς τοὺς ἐντυγχάνοντας εὐπροσήγορον, ὡς ἀντιλάμπειν ταῖς τοῦ σώματος χάρισι τὰς τῆς ψυχῆς ἀρετάς. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ[25] αὐτοῦ[7] ἀποστολείῳ, τῷ ὄντι πλησίον τοῦ Ταύρου.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τῶν ἐγκαινίων τοῦ σεπτοῦ ἀποστολείου τοῦ ἁγίου καὶ πανευφήμου κορυφαίου τῶν ἀποστόλων Πέτρου, τοῦ συγκειμένου τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

3. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μακεδονίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως[1].

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κϛ΄.

April. 26. 1. Ἄθλησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ[1] ἱερομάρτυρος[1] Βασιλέως ἐπισκόπου τῆς ἐν Ἀμασείᾳ μητροπόλεως[2]. Ὁ ἔνδοξος τοῦ Χριστοῦ μάρτυς Βασιλεὺς ἦν ἐπίσκοπος[3] τῆς ἐν Ἀμασείᾳ μητροπόλεως κατὰ τοὺς χρόνους Λικινίου[4]· ὃς ἐξεπέμφθη παρὰ τοῦ μεγάλου Κωνσταντίνου, ἐπὶ Κωνσταντίνῃ τῇ ἀδελφῇ αὐτοῦ γαμβρὸς ὤν[5], κατὰ Μαξιμίνου ἐπαναστάντος καί τινα μέρη τῶν[1] κατ'[6] ἀνατολὴν κατασχόντος καὶ τυραννήσαντος. Γενόμενος δὲ κατὰ τὴν Νικομήδειαν ὁ Λικίνιος, ἐπεὶ τὰ τῆς ἐπαναστάσεως λέλυτο, τοῦ τυράννου ἀπογνόντος[7] τὴν διὰ μάχης ἀντίστασιν καὶ τὸν κατὰ χεῖρα κίνδυνον ἐκφυγόντος, αὐτὸς ἐν Νικομηδείᾳ τοῖς εἰδώλοις προσῆγε θυσίας[8] καὶ τὸν ἅγιον ἱερομάρτυρα[9] Βασιλέα ἐξ Ἀμασείας μετὰ κόρης τινὸς προσαγορευομένης Γλαφύρας[10] ἀχθῆναι προσέταξεν. Ἡ[11] γὰρ Γλαφύρα θεράπαινα οὖσα[12] Κωνσταντίνης τῆς γαμετῆς Λικινίου, ἐπεὶ τὸν Λικίνιον ἐπιμα|νέντα αὐτῇ καὶ ἐπιλυττήσαντα[13] ᾔσθετο[14], (f. 203.) τοῦτο ἀναθεμένη τῇ κυρίᾳ αὐτῆς καὶ[15] μετὰ χρημάτων παρ' αὐτῆς κατὰ ἀνατολὰς στέλλεται καὶ τόπους ἐκ τόπων ἀμείψασα, εἰς τὴν Ἀμάσειαν[16] καταντᾷ. Τοῦτο πυθόμενος ὁ Λικίνιος, καὶ ὅτι τὸ ἐπιφερόμενον παρ' αὐτῆς χρυσίον εἰς ἀνοικοδομὴν ἐκκλησίας τῷ ἐπισκόπῳ ἐπέδωκεν[17], ἀμφοτέρους συλληφθῆναι καὶ πρὸς αὐτὸν ἀχθῆναι

— [4] τοῦ *add.* Mc. — [5] ἀνεκήρυττε Mc. — [6] Κυρίνῃ S. — [7] *om.* Mc. — [8] Βουκόλοις ἐλθὼν καὶ Mc. — [9] τ. τ. Χ. εὐαγγ. λόγον Mc. — [10] προσκυνηταὶ Mc. — [11] (μὴ - εὐοδουμένην) *om.* Mc. — [12] διελόντες ἔσυρον Mc. — [13] ἐφοίνισεν S, τὴν γῆν ἐφοίνισον αἵματι· εἶτα Mc. — [14] αὐτῷ Mc. — [15] καὶ *add.* Mc. — [16] (δὲ - αὐτὸν) δήσαντες αὐτὸν ἔσυραν Mc. — [17] περιδρύφθεσθαι S, περιθρύπτεσθαι Mc. — [18] παρέθετο Mc. — [19] (καὶ εἰς - ἰδέαν) κατὰ δὲ τὴν τῆς ἰδέας Mc. — [20] εἶχεν Mc. — [21] (οὔτε - ἐπανθοῦσα) ὁ μὲν τοῦ σώματος ὄγκος σύμμετρος αὐτῷ ἐπίσης μεγέθος τε ἄμετρον καὶ βραχύτητος ταπεινότητα ὑπεκκλίνων· ἔπρεπε δὲ τῷ μετρίῳ τῆς ἡλικίας καὶ ἐπανθοῦσα σύμμετρος Mc. — [22] ἐν S. — [23] (καὶ οὐ - προφαίνουσα) *om.* Mc. — [24] (καὶ πωγ. - ψιλότης) *om.* Mc. — [25] πανσέπτῳ Mc.

3. — [1] ὁ ἅγιος Μ. πατριάρχης Κπ. ἐν εἰρήνῃ τ. Mc.

1. — [1] *om.* Mc. — [2] ἐπισκόπου Ἀμασείας Mc. — [3] (ὁ - ἐπίσκοπος) οὗτος ἐπ. ἦν Mc. — [4] Λικιννίου S. — [5] ὢν γ. Mc. — [6] κατὰ τὴν Mc. — [7] τὰ καθ' ἑαυτὸν καὶ *add.* Mc. — [8] θυσίας τ. εἰδ. πρ. Mc. — [9] *om.* Mc. — [10] Γλ. πρ. Mc. — [11] αὕτη Mc. — [12] οὖσα θ. Mc. — [13] λυττήσαντα Mc. — [14] ἐθεάσατο Mc. — [15] *om.* Mc. — [16] Ἀμάσιαν *hic* S. — [17] δέδωκεν Mc.

---

April. 25. λη' ἐτῶν ὑπάρχων, λευκὸς ὑπὲρ χιόνα τῷ σώματι, ῥοδινὸς τῷ προσώπῳ, ἡ δὲ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ἦν ὡς τὸ χρυσίον, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ[1]... — 1. 3. 2. — **D** : 1. 2. 3. — **Da** : 1. 3. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — Σάβα τοῦ στρατηλάτου. — **Bc** : 1. — Σάβα. — **C** : 1. — Σάβα. — **Ce** : 1. — Σάβα. — **Cg** : 1. — Σάβα. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. 3. — Ἡ ἁγία μάρτυς Νίκη ξ. τ. (cf. April. 24[4]). — Οἱ ἅγιοι ὀκτὼ μάρτυρες καὶ ἀναχωρηταὶ ξ. τ. — **Mv** : 1. 2. 3. — Νίκης. — Τῶν ὁσίων πατέρων ὀκτὼ καὶ ἀναχωρητῶν μαρτύρων. — **Mr** : 1.

April. 26. SYNAXARIA SELECTA. **H** : 1. — **P** : 1. — **D** : 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : 1. — Πουπλίου. — **Bc** : 1. — Πουπλίου. Στρατιώτης ἦν οὗτος ὁ ἅγιος μάρτυς τοῦ Χριστοῦ Πούπλιος, στρατευόμενος ὑπὸ τῷ βασιλεῖ Λικινίῳ καὶ ἀγαπώμενος ὑπ' ἐκείνου διὰ τὸ πολλάκις ἐν πολλοῖς ἀνδραγαθῆσαι πολέμοις. Ὅτε δὲ δέσμιος ἤχθη ἐξ Ἀμασείας ὁ ἅγιος ἱερομάρτυς Βασιλεὺς καὶ σταθεὶς ἔμπροσθεν τοῦ Λικινίου ἤλεγξεν ἀνδρείως αὐτόν τε καὶ τὴν πλάνην τῶν ἀκαθάρτων δαιμόνων

[1] *ita mutil. des. in cod.*

APRIL. 26. προσέταξεν. Ἀλλ' ἡ μὲν Γλαφύρα τὸν βίον ἔφθη λιποῦσα· ὁ δὲ μακάριος ἐπίσκοπος Βασιλεὺς ἐν Νικομηδείᾳ πρὸς τὸν τύραννον ἤχθη καὶ τὴν διὰ ξίφους ἀπόφασιν δέχεται, ἀντειπὼν αὐτῷ καὶ ἱκανῶς τῆς ταλαιπωρίας τῶν νομιζομένων[18] θεῶν καὶ τῆς αὐτοῦ[19] ματαιότητος καταπτύσας. Τέμνεται οὖν τὸν αὐχένα καὶ ἐν πλοίῳ βληθεὶς καθ' ἑκάτερον μέρος τῆς νηὸς ἥ τε κεφαλὴ καὶ τὸ σῶμα τῇ θαλάσσῃ ἐκδίδοται[20]· ἃ συνῆλθε[21] κατὰ τὴν φυσικὴν ἁρμονίαν. Καὶ εὑρέθη ὕστερον σῶος ὁ ἅγιος ἐν τῷ κατὰ Σινώπην[22] κόλπῳ, ἁλιέων τινῶν σαγήνην καθιέντων καὶ πρὸς τὴν χέρσον ἑλκυσάντων αὐτόν, καθὼς ἐπιστὰς ἄγγελος Ἐλπιδιφόρῳ τῷ πρώτως ὑποδεξαμένῳ ἐν Νικομηδείᾳ τὸν ἅγιον εἶπεν[23]. Ὃς παραγενόμενος ἅμα Θεοτίμῳ καὶ Παρθενίῳ τοῖς διακόνοις, οἳ[24] ἐξ Ἀμασείας τῷ ἁγίῳ συμπαρεγένοντο, ἐξελκυσθέντα[25] αὐτὸν ὑπὸ τῆς σαγήνης λαβόντες[26] καὶ[26] μύροις καὶ ᾠδαῖς τιμήσαντες τῇ Ἀμασείᾳ[27] παρέπεμψαν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις[28] ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ'.

APRIL. 27. 1. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Συμεὼν τοῦ συγγενοῦς τοῦ Κυρίου. Τοῦτον αὐτὸς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν ὡς συγγενῆ προσλαβόμενος καὶ ἀδελφὸν ὀνομάζεσθαι καταδεξάμενος, ἱερέα ἔχρισε τοῦ κηρύττειν αὐτοῦ τὴν ἔνθεον[1] ἐπὶ γῆς παρουσίαν[2]· ὅθεν μυρίοις πόνοις[3] καὶ ἱδρῶσι παλαίσας ὡς ποιμὴν καὶ οὐχ ὡς μισθωτός, — τὸν θρόνον γὰρ τῶν Ἱεροσολύμων κατεκόσμει[4] — καὶ ναὸν ἑαυτὸν τοῦ ἁγίου ἀπεργασάμενος Πνεύματος[5] καὶ τοὺς βωμοὺς τῶν εἰδώλων καταστρεψάμενος[6] καὶ τοὺς πλανω-

— [18] τιμωμένων αὐτῷ ψευδωνύμων Mc. — [19] τούτου *add.* Mc. — [20] ἐκδίδονται Mc. — [21] αὖθις *add.* Mc. — [22] Συνώπην Mc. — [23] ὑπ. τὸν ἅγιον ἐν Ν. δεδήλωκεν Mc. — [24] ὃς S. — [25] ἑλκυσθέντα Mc. — [26] *om.* Mc. — [27] εἰς τὴν Ἀ. Mc. — [28] ἡ δὲ τούτου σύναξις τελ. Mc.

1. — [1] ἔνσαρκον Mc. — [2] παρρουσίαν S. — [3] π. μ. Mc. — [4] τὸν τῶν Ἰ. θρόνον ἐκόσμει Mc. — [5] παναγίου πν. ἐργασάμενος Mc. — [6] τῶν εἰδ. κ. βωμοὺς Mc.

---

APRIL. 26. καὶ διεξῆλθε τὰ περὶ τῆς οἰκονομίας τοῦ ἀληθινοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ῥίψας τὰ ὅπλα καὶ τὴν ζώνην, ἣν περιεβέβλητο, ὡμολόγησεν ἑαυτὸν χριστιανὸν καὶ τοῦ ἐπουρανίου Θεοῦ δοῦλον καὶ στρατιώτην. Ὀργισθεὶς οὖν ὁ βασιλεὺς καὶ ἀλλοιώσας τὸ πρόσωπον αὐτοῦ τῷ πολλῷ θυμῷ, πρῶτον μὲν διὰ κολακείας ἐσπούδαζεν μεταθεῖναι αὐτὸν τῆς τοιαύτης γνώμης· ὡς δὲ οὐκ ἔπεισεν, ἰσχυρῶς βασανίσας, μαχαίρᾳ τὴν κεφαλὴν αὐτοῦ ἀπέτεμεν (April. 28[3]). — **C** : 1. — **Ce** : 1. — **Cg** : 1. — **R** : 1. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Νέστωρ ἐν εἰρήνῃ τ. — **Mv** : 1. — Γλαφύρα. — Ἰούστα. — Ὁ ὅσιος Νέστωρ τοὺς γονεῖς καταλιπὼν καὶ μονάσας ἐν εἰρήνῃ τ. — **Mr** : 1.

APRIL. 27. SYNAXARIA SELECTA. **H** : Ποπλίωνος (April. 28[2]). — Εὐλογίου ξενοδόχου (April. 28[4]). — Ἰάσωνος (April. 28[1]). — Ἐγκαίνια τῆς ἁγίας Εἰρήνης (April. 28[5]). — **P** : Ποπλίωνος. — Εὐλογίου. — Ἰάσωνος. — Ἐγκαίνια τῆς ἁγίας Εἰρήνης. — **D** : 1. — Πουπλίωνος. — Εὐλογίου. — **Da** : 1. — Πουπλίωνος. — Εὐλογίου. — **Db** : 1. — Πουπλίωνος. — Εὐλογίου. — **K** : 1. — **N** : 1. — Πουπλίωνος. — Εὐλογίου. — **Bb** : Σωσιπάτρου καὶ Ἰάσωνος (April. 28[1]). — Κερκύρας (April. 28[1]). — Σατορνίνου κτλ. (April. 28[1]). — **Bc** : Σωσιπάτρου καὶ Ἰάσωνος. — Κερκύρας. — Σατορνίνου κτλ. — **C** : Πουπλίωνος. — Εὐλογίου. — Ἰάσωνος ἐπισκόπου Ταρσοῦ καὶ Σωσιπάτρου. — 1 (in marg. manu rec.). — **Ce** : Ποῦπλίωνος. — Εὐλογίου. — Ἰάσωνος καὶ Σωσιπάτρου. — **Cg** : Πουπλίωνος. — Εὐλογίου. — Ἰάσωνος καὶ Σωσιπάτρου. — **R** : 1. — **Ra** : 1. — Ζωσιμᾶ. — Πουπλίωνος. — Εὐλογίου. — Βιταλίου, Ζήνωνος, Εὐσεβίου, Νέωνος καὶ Νεστάβου (April. 24[1]). — Σίμωνος τοῦ Κανανίτου ἑνὸς τῶν ιβ' (Mai 10[1]). — Ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου ἱερομάρτυρος Βασιλέως. — Κλήμεντος τοῦ ποιητοῦ καὶ ὑμνογράφου τῶν κανόνων (Mai 27[3]). — **Rb** : 1. — Ζωσιμᾶ τοῦ εὐλαβοῦς μοναχοῦ. — Πουπλίωνος. — Εὐλογίου. — **Rc** : 1. — Ζωσιμᾶ. — Πουπλίωνος. — **Mc** : 1. — Ἰωάννου ἡγουμένου τῆς τῶν Καθαρῶν. Οὗτος ὁ μακάριος Ἰωάννης γεννᾶται εἰς Εἰρηνόπολιν, μίαν οὖσαν τῆς Δεκαπόλεως, παρὰ χριστιανῶν καὶ θεοφιλῶν γονέων Θεοδώρου καὶ Γρηγορίας. Ἐνναετὴς δὲ γενόμενος, ζήλῳ θείῳ κινηθεὶς ἀπῆλθεν εἰς κοινόβιον· καὶ μοναχὸς γενόμενος καὶ σπουδαῖος ἄγαν ἀναφανεὶς καὶ ταπεινὸς καὶ ὑπήκοος, ἠγαπήθη παρὰ τοῦ διδασκάλου αὐτοῦ. Καὶ ἀπελθὼν σὺν αὐτῷ ἐν τῇ δευτέρᾳ συνόδῳ τῇ ἐν Νικαίᾳ, εἶτα ἐν Κωνσταντινουπόλει, ἐπεὶ ὁ τούτου καθηγητὴς γέγονεν ἀρχιμανδρίτης Δαλμάτου, ἀποκαθίσταται καὶ οὗτος εἰς ἱερέα· ἐκεῖθεν δὲ ἀποστέλλεται ὑπὸ Νικηφόρου τοῦ βασιλέως ἡγούμενος ἐν τῇ μονῇ τῶν Καθαρῶν. Καὶ ἀποστολικῶς τὴν τοῦ Χριστοῦ ποίμνην ἐπὶ χρόνοις δέκα καὶ μικρόν τι πλέον διακυβερνήσας, πειρασμοῦ παγκοσμίου μελετωμένου ὑπὸ τοῦ τῆς εἰρήνης ἐχθροῦ, ἀπεκαλύφθη περὶ τούτου τῷ μακαρίῳ· καὶ ἐπισυλλέξας πᾶσαν τὴν ἀδελφότητα ἐνουθέτησε καὶ τὰ εἰκότα παρῄνεσεν. Εἶτα πρὸς αὐτοὺς ἔφη· «Γρηγορεῖτε, πατέρες καὶ ἀδελφοί, ἵνα μὴ συληθῆτε ὑπὸ τοῦ διαβόλου καὶ » ἀρνῆσθε προσκυνεῖν τὰς θείας εἰκόνας.» Καὶ ὡς ταῦτα ἔλεγεν, ἐλθόντες τινὲς ἀπηγριωμένοι τοῦ εἰκονομάχου Λέοντος ὑπηρέται, πᾶσαν τὴν ποίμνην διεσκόρπισαν καὶ τὰ ἐν αὐτῇ ἁρπάσαντες διενείμαντο καὶ τὸν ποιμένα σιδηροδέσμιον λαβόντες πρὸς τὸ Βυζάντιον εἷλκον. Ὅθεν καὶ ἐλθὼν πρὸς τὸν βασιλέα ὁ ἅγιος, καὶ ἀλιτήριον καὶ ἄθεον αὐτὸν καὶ ἄθλιον ἀποκαλέσας καὶ ἄλλα πλείω, ὅσα γε αὐτὸν ἀκοῦσαι ἐχρῆν, ἀνενδοιάστως, κατονομάσας καὶ τῇ παρρησίᾳ τῶν ῥημάτων καταβροντήσας, πρὸς ὀργὴν διεγείρει· καὶ γοῦν τὰς ὄψεις τοῦ μακαρίου σφοδρῶς τοῖς βουνεύροις ἔτυψεν. Ὁ δὲ ταῦτα πάσχων διὰ τὸν Χριστὸν ἔχαιρεν· εἶτα φυλακισθεὶς ἐν τῷ μετοχίῳ αὐτοῦ μῆνας τρεῖς, ἐξορίζεται εἰς φρούριόν τι



μένους[7] πρὸς φῶς[8] καθοδηγήσας καὶ πολυώδυνα καὶ ποικίλα κολαστήρια ὑπομείνας διὰ τὴν εὐσέβειαν[9], σταυρῷ προσεπάγη ἐτῶν ἤδη γεγονὼς ἑκατὸν[10] εἴκοσι, κἀκεῖθεν[11] εἰς[12] οὐρανοὺς πρὸς τὸν ποθούμενον αὐτῷ σωτῆρα ἐπανῆλθε[13]. Οὗτος δὲ[14] ὁ μακάριος[15] διπλῆν τὴν κλῆσιν ἐπλούτησε. Σίμων γὰρ καὶ Συμεὼν ἐκαλεῖτο, καὶ ἀδελφὸς Ἰακώβου καὶ αὐτοῦ[16] τοῦ Χριστοῦ ἐχρημάτισε. APRIL. 27.

f. 203v.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ'.

1. Ἄθλησις τῶν ἁγίων ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα[1] Ἰάσωνος καὶ Σωσιπάτρου. Ὧν[2] ὁ μὲν Ἰάσων Ταρσεὺς ἦν, ὃς καὶ πρῶτος ζωγρεῖται πρὸς[3] εὐσέβειαν· Σωσίπατρος δὲ ἐξ Ἀχαίας ὁρμώμενος, μετὰ ταῦτα τὴν εἰς Χριστὸν πίστιν ἐδέξατο, ἀμφότεροι[4] μαθηταὶ χρηματίσαντες Παύλου τοῦ ἀποστόλου. Καὶ[5] ὁ μὲν Ἰάσων τῆς οἰκείας[6] πόλεως διδάσκαλος καθίσταται, ὁ δὲ Σωσίπατρος τῆς Ἰκονιέων ἐκκλησίας τοὺς οἴακας δέχεται· οἵτινες τὰς ἐκκλησίας αὐτῶν[7] ποιμάναντες καὶ[5] πληθύναντες[5], τὴν ἑσπέραν καταλαμβάνουσι καὶ τῇ Κερκυραίων[8] ἐπιδημήσαντες νήσῳ ναὸν περικαλλῆ ἀνεγείρουσι Στεφάνῳ τῷ πρωτομάρτυρι· ἔνθα τῷ Θεῷ λειτουργοῦντες πολλοὺς πρὸς τὴν εἰς[9] Χριστὸν πίστιν ἐπεσπάσαντο. Διαβληθέντες δὲ Κερκυλίνῳ τῷ βασιλεῖ[10], φρουρᾷ ἐγκλείονται, ἐν ᾗ ἑπτὰ λῄσταρχοι ὑπῆρχον[11] ἐγκεκλεισμένοι, ὧν αἱ προσηγορίαι Σατορνῖνος[12], Ἰακίσχολος, Φαυστινιανός, Ἰανουάριος, Μαρσάλιος, Εὐφράσιος καὶ Μάμιος[13]· οὓς δι' ὧν εἶπον καὶ πεποίηκαν πρὸς τὴν εἰς Χριστὸν μετενέγκαντες πίστιν[14] πρόβατα ἀντὶ λύκων εἰργάσαντο. Οἳ καὶ μετὰ ταῦτα ἐν λέβησι μεμεστωμένοις πίσσης καὶ θείου καὶ κηροῦ βληθέντες, τῆς μαρτυρίας τοὺς στεφάνους παρὰ Χριστοῦ ἐκομίσαντο. Καὶ ὁ δεσμοφύλαξ δὲ πιστεύσας ὡσαύτως εἰς Χριστόν[15], τὴν εὐώνυμον χεῖρα καὶ τοὺς δύο πόδας ἐκκοπεὶς τέμνεται καὶ τὸν αὐχένα, τὸ τοῦ Χριστοῦ ἐπικαλούμενος ὄνομα. Τοὺς δὲ APRIL. 28.

— [7] πεπλανημένους Mc. — [8] τὸ φ. τῆς ἀληθείας *add.* Mc. — [9] ὑπὲρ τῆς εὐσεβείας ὕστερον Mc. — [10] πρὸς τοῖς *add.* Mc. — [11] δι' οὗ Mc. — [12] πρὸς Mc. — [13] ἀνελήλυθεν Mc. — [14] οὖν Mc. — [15] ἅγιος Mc. — [16] *om.* Mc.

1. — [1] ἐκ τῶν ο' *om.* Mc. — [2] τούτων Mc. — [3] τὴν *add.* Mc. — [4] δὲ *add.* Mc. — [5] *om.* Mc. — [6] ἰδίας Mc. — [7] ἀποστολικῶς καὶ θεαρέστως *add.* Mc. — [8] Κυρηναίων Mc. — [9] εἰς τὴν πρὸς Mc. — [10] ἐν *add.* Mc. — [11] ὑπ. ἑπτὰ λ. Mc. — [12] Σατωρνῖνος S. — [13] Φαυστιανός ... Μάμμινος Mc. — [14] (πεποίηκαν - πίστιν) πεποιήκασι πρὸς τὴν εὐσέβειαν μετηγάγοντο καὶ πρόβατα Mc. — [15] (μετὰ - Χριστὸν) ἐμβληθέντες λέβησι πεπληρωμένοις π. κ. θ. κ. κ. τοὺς τῆς μαρτυρίας στεφάνους ἐκομίσαντο· ἀλλὰ καὶ ὁ δεσμοφύλαξ πιστεύσας εἰς Χ. Mc.

---

λεγόμενον Πενταδάκτυλον ἐν τῇ χώρᾳ τῆς Κάμπης. Καὶ τοὺς πόδας αὐτοῦ ἁλύσεσι σιδηραῖς πεδήσαντες, ἐπὶ μησὶν ὀκτωκαίδεκα σκοτεινῇ φυλακῇ ἐναπέθεντο τοῦτον φυλάσσοντες. Εἶτα πάλιν εἰσαχθεὶς ἐν τῇ πόλει παρέστη τῷ τυράννῳ γυμνὸς εἰς θρίαμβον· καὶ μετὰ πολλοὺς τοὺς λόγους παρεδόθη τῷ τότε ἀναξίως πατριαρχοῦντι Ἰωάννῃ· ὃς καὶ πάνδεινα κακὰ ἐνδειξάμενος εἰς αὐτὸν ἐπὶ πολὺν χρόνον λιμαγχονήσας, ἀνήγαγεν αὐτὸν πρὸς τὸν βασιλέα. Ὁ δὲ εἰς τὸν Κριόταυρον κάστρον τῶν Βουκελλαρίων ἐν δυσὶ χρόνοις στενοτάτῃ τινὶ καὶ ζοφερᾷ ὀπῇ κατακλείσας, ἐταρίχευεν ὑποπιέζων τρόπῳ παντί. Τοῦ δὲ ἁγίου πάντα εὐχαρίστως φέροντος, οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἐσφάγη ὁ ἀλιτήριος βασιλεύς· καὶ κρατήσας Μιχαὴλ ἀντ' αὐτοῦ τοὺς ἐν ἐξορίᾳ ἀνεκαλεῖτο. Καὶ ἀφίκετο ὁ ἅγιος μέχρι τῆς Χαλκηδόνος μὴ συγχωρηθεὶς ἐν τῇ πόλει εἰσελθεῖν. Βασιλεύσαντος δὲ Θεοφίλου, ἠθέλησε προσκαθίσαι ἐν ναῷ τινι μεθ' ἑτέρων πατέρων· εἶτα κρατηθεὶς σὺν τοῖς ἄλλοις παρὰ τοῦ τότε πατριαρχεύοντος καὶ πλεῖστα χαλεπὰ πεπονθὼς ἐξορίζεται ἐν τῇ νήσῳ τῆς Ἀφουσίας· καὶ πληρώσας χρόνους δύο καὶ ἥμισυ, εἶδέ τινα ὀπτασίαν, καὶ ἀπαγγείλας τοῖς σὺν αὐτῷ τὴν μετάθεσιν αὐτοῦ, μετὰ τρεῖς ἡμέρας ἀπῆλθε πρὸς Κύριον.— Ἀριστάρχου, Μάρκου καὶ Ζήνωνος. Ὁ θεῖος οὗτος Ἀρίσταρχος ἐκ τῶν ἑβδομήκοντά ἐστιν, οὗ μέμνηται Παῦλος πρὸς Ῥωμαίους ἐπιστέλλων. Ἐπίσκοπος δὲ γέγονεν Ἀπαμείας τῆς ἐν Συρίᾳ ὑπὸ τῶν πρωτοθρόνων, αὐτὸς πρῶτος τὸν Χριστὸν Θεὸν ἐκεῖσε κηρύξας. Μάρκος δὲ οὗτός ἐστιν, ὃν Ἰωάννην ἔλεγον ἐν συνηθείᾳ, οὗ ὁ Λουκᾶς ἐν ταῖς Πράξεσι μέμνηται. Ὃς δὴ καὶ αὐτὸς ὑπὸ τῶν ἁγίων ἀποστόλων ἐχειροτονήθη ἐπίσκοπος ἐν Βιβλοπόλει. Ζήνων δέ ἐστιν, ὃν ἐν τῇ πρὸς Ῥωμαίους ὁ ἀπόστολος Παῦλος νομικὸν γράφει· καὶ ἐπίσκοπος πρῶτος ἐν Διοσπόλει γεγονὼς ὑπὸ τοῦ Πέτρου, ἐδίδασκε κηρύττων τὸν Χριστόν. Οὗτοι οὖν πολλὰς κακώσεις ὑπομείναντες ἔν τε οἰκοδομαῖς ἐκκλησιῶν, εἰδώλων καθαιρέσεσι, θαυμάτων τε οὐκ ὀλίγων καὶ ἰάσεων αὐτουργοὶ γεγονότες πρὸς Κύριον ἐξεδήμησαν. — Ποπλίων. — Εὐλόγιος. — Λολλίων ὁ νέος κατὰ γῆς συρόμενος τ. — **Mv** : 1. — Ἰωάννου. — Ἀριστάρχου κτλ. — Πουπλίωνος. — Εὐλογίου. — Λωλίωνος. — **Mr** : 1. APRIL. 27.

SYNAXARIA SELECTA. **H** : 2. — Βιταλίου, Εὐσεβίου, Νέωνος, Νεστάβου (April. 24[4]). — Σίμωνος τοῦ Κανανίτου (Mai 10[1]). — Εὕρεσις τῶν λειψάνων τοῦ ἁγίου Βασιλέως ἐπισκόπου Ἀμασείας. — Κλήμεντος τοῦ ποιητοῦ (Mai 27[3]). — **P** : 2. — Βιταλίου κτλ. — Σίμωνος. — Εὕρεσις τοῦ λειψάνου κτλ. — Κλήμεντος. — **D** : 1. 2. — Βιταλίου κτλ. — Σίμωνος. — Εὕρεσις τῶν λειψάνων κτλ. — Κλήμεντος. — **Da** : 1. 2. — **Db** : 1. 2. — **K** : 1. 2. — **N** : 1. 2. — **Bb** : 2. — Ζήνωνος κτλ. — Μέμνονος τοῦ θαυματουργοῦ (April. 29[1]). — **Bc** : 2. — Ζήνωνος καὶ τῆς συνοδίας αὐτοῦ. Ζήνων, ὁ τοῦ Χριστοῦ μάρτυς, ἅμα τοῖς ἁγίοις Εὐσεβίῳ[1], Νέωνι καὶ Βιταλίῳ ὑπῆρχον μὲν ἐκ τῆς νήσου Κερκύρας· κατηχισθέντες δὲ ὑπὸ τῶν ἁγίων ἀποστόλων Ἰάσωνος καὶ Σωσιπάτρου, ἐπίστευσαν τῷ Χριστῷ· καὶ διαβληθέντες Κερκυλίνῳ τῷ τῆς νήσου βασιλεῖ, ἐκρατήθησαν· καὶ δεθέντες ὑπὸ τῶν εἰδωλολατρῶν ἁλύσεσι βαρείαις, παρέστησαν ἐνώπιον αὐτοῦ. Καὶ ἐρωτηθέντες καὶ ὁμολογήσαντες τὸν Χριστόν, γυμνωθέντες τῶν ἱματίων αὐτῶν, APRIL. 28.

[1] Εὐσεβείω Bc.

APRIL. 28.

ἁγίους Ἰάσωνα καὶ Σωσίπατρον τῆς φυλακῆς ὁ[16] βασιλεὺς[16] ἐξαγαγών, Καρπιανῷ τῷ ἐπάρχῳ τιμωρεῖσθαι ἐκδίδωσιν. Ὃς[17] τούτους ἐρωτήσας, τῇ εἱρκτῇ δεσμεύσας παρέπεμψε. Ἰδοῦσα δὲ αὐτοὺς οὕτω[18] δεδεμένους Κέρκυρα[19], ἡ τοῦ βασιλέως θυγάτηρ καὶ μαθοῦσα, ὅτι διὰ τὸν Χριστὸν ταῦτα πάσχουσι, καὶ αὐτὴ χριστιανὴν ἑαυτὴν ἀνηγόρευσεν καὶ τὸν κόσμον ὃν ἐφόρει περιελομένη[20] πένησιν αὐτίκα διένειμεν. Τοῦτο μαθὼν ὁ πατὴρ αὐτῆς, ἐπεὶ μὴ δυνηθείη[21] ταύτην τοῦ σκοποῦ μεταθεῖναι[22], εἱρκτῇ κατακλείει καὶ Αἰθίοπί τινι ἀσώτῳ εἰς διαφθορὰν ἐκδίδωσιν. Ὁ δὲ ὡς μόνον τῇ θύρᾳ τῆς φυλακῆς προσήγγισεν, ὑπὸ θηρίου διασπαράττεται[23], ἡ δὲ τοῦτο αἰσθομένη, ἰᾶται[24] τοῦτον καὶ τοῦ θηρὸς λυτροῦται, καὶ δι' ὧν πρὸς αὐτὸν διεξῄει[25], τῷ Χριστῷ στρατεύσασα, χριστιανὸν ἀπειργάσατο. Καὶ « Μέγας ὁ Θεὸς τῶν χριστια» νῶν » τρανῶς ὁ Αἰθίοψ ἀνεβόησε, καὶ αὐτίκα δεινῶς ὑπὸ τοῦ τυράννου[26] τιμωρηθεὶς τοῦ βίου μεθίσταται[27]· περὶ δὲ[16] τὴν φρουρὰν ξύλα ἐνέγκαντες[28] οἱ στρατιῶται ὑφῆψαν τῇ μάρτυρι, κατακαῦσαι ταύτην πειρώμενοι. Τούτου δὲ[29] γενομέ- f. 204. νου, | ἄφλεκτος διαμείνασα ἡ ἁγία, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐξεκαλέσατο[30] πίστιν· διὰ τοῦτο ξύλῳ ἀναρτᾶται καὶ καπνῷ πνιγηρῷ ὑποβάλλεται καὶ βέλεσι κατατιτρώσκεται ἐπὶ τοσοῦτον, ἕως τὸ πνεῦμα αὐτῆς τῷ Θεῷ παρέθετο. Μετὰ ταῦτα διωγμὸν κατὰ τῶν πιστευσάντων Χριστῷ κινήσας ὁ βασιλεύς, κἀκείνων ἐν[31] τῷ παρακειμένῳ νησιδίῳ διαφυγόντων, αὐτὸς τιμωρησόμενος[32] τούτους ἀπέπλεε. Καὶ δὴ μέσον τοῦ πελάγους γενόμενος, ὡς ὁ πάλαι Φαραὼ τῇ θαλάσσῃ κατεποντίσθη· καὶ ὁ μὲν τοῦ Κυρίου λαὸς εὐχαριστηρίους ὕμνους τῷ σεσωκότι Θεῷ προσῆγεν[33], Ἰάσων δὲ καὶ Σωσίπατρος τῆς φυλακῆς ἀπολυθέντες ἐδίδασκον ἀκωλύτως τὸν λόγον τοῦ Θεοῦ. Ἐπεὶ δὲ ἀνέστη βασιλεὺς ἕτερος[34] καὶ τὰ περὶ τῶν ἁγίων ἔμαθε[35], κελεύει ἐνεχθῆναι[36] βούτην σιδηρᾶν καὶ βληθῆναι πίσσαν ἐν αὐτῇ καὶ ῥητίνην καὶ κηρόν, καὶ ἐκπυρωθῆναι σφοδρῶς καὶ τοὺς ἁγίους ἐν αὐτῇ ἐμβληθῆναι. Τούτου δὲ[37] γενομένου καὶ τῶν ἁγίων ἀφλέκτων διαφυλαχθέντων[38], πολλοὶ τῶν ἀπίστων οἱ μὲν κατεφλέχθησαν, οἱ δὲ τῷ Χριστῷ ἐπίστευσαν. Ὁ δὲ βασιλεὺς λίθον τοῦ ἰδίου ἐξαρτήσας τραχήλου ἐθρήνει· « Ὁ Θεός, λέγων, Ἰάσωνος καὶ Σωσι» πάτρου, ἐλέησόν με τὸν ἁμαρτωλόν[39]. » Τότε ὁ μακάριος Ἰάσων ἀθροίσας πάντας τοὺς πιστεύσαντας[40] καὶ διδάξας τὸν λόγον τῆς ἀληθείας, παρόντος καὶ τοῦ βασιλέως, καὶ κατηχήσας αὐτὸν ἐβάπτισεν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἐπονομάσας τὸν βασιλέα[41] Σεβαστιανόν. Οὐ μετὰ πολλὰς δὲ ἡμέρας ὁ υἱὸς τοῦ βασιλέως νόσῳ περιπεσὼν ἐτελεύτησεν. Ὁ δὲ ἀπόστολος προσευξάμενος ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Πολλὰ οὖν ἔκτοτε[42] λόγου καὶ μνήμης ἄξια κατεργασάμενος[43] θαύματα καὶ ναοὺς ἀνεγείρας[44] ἅμα τῷ βασιλεῖ περικαλλεῖς καὶ πάντα καλῶς καὶ ὁσίως τελέσας[45] καὶ τὸ τοῦ Χριστοῦ ποίμνιον[46] ἐπαυξήσας, ἐν γήρει πίονι καταλύει τὸν βίον καὶ πρὸς τὸν ποθούμενον[47] διαβαίνει.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μαξίμου, Δάδα καὶ Κυντιλλιανοῦ. Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Μαξιμιανοῦ καὶ Μαξιμίνου καὶ Γαβινίου[1] καὶ Ταρκυΐνου τῶν ὑπάτων· ὥρμηντο δὲ ἐκ πόλεως Δοροστόλου[2] τῆς δευτέρας Μυσίας. Τούτων δὲ ὁ ἅγιος Μάξιμος ἀναγνώστης ἦν τῆς καθολικῆς ἐκκλησίας, καλῶς τὰς θείας ἐξησκημένος γραφὰς[3] καὶ διδασκαλίαις τοὺς σὺν[4] αὐτῷ ἁγίους νουθετῶν καὶ πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπιβεβαιῶν | καὶ στηρίζων· διά τοι f. 204v. τοῦτο[5] καὶ πρὸς τοὺς ὑπάτους διαβληθεὶς ἤχθη[6] μετὰ Δάδα καὶ Κυντιλλιανοῦ εἰς ἐξέτασιν. Μεθ'[5] ὧν τὸ ἀνένδοτον[7] τῆς γνώμης ἐπιδειξάμενος, καὶ τὸν Χριστὸν παρρησίᾳ ὁμολογήσας[8], πρῶτον μὲν ἐν τῇ φυλακῇ μετὰ τῶν συνάθλων ἐμβάλλεται[9], ἔνθα ὑπὸ θείου ἀγγέλου ἐνεπλήσθησαν θάρσους. Ἔπειτα[10] ἀχθέντες σφοδραῖς κατεξάνθησαν μάστιξι, γυμνοὶ κατὰ τῆς γῆς ἐκταθέντες καὶ οὕτως

— [16] *om.* Mc. — [17] οὓς S. — [18] οὕτως Mc. — [19] Κερκύρα Mc. — [20] (ταῦτα - περιελομένη) πάσχουσι ταῦτα χριστιανὴ καὶ αὐτὴ ἑαυτὴν ἀνηγόρευσε· καὶ ὃν ἐφ. κ. περιελοῦσα Mc. — [21] δυνηθεὶς S, ἠδυνήθη Mc. — [22] ἐν *add.* Mc. — [23] διασπαρέττεται S. — [24] ἰάσατο Mc. — [25] ἐλυτρώσατο καὶ δι' ὧν ἐδίδαξε τοῦτον Mc. — [26] (καὶ μέγας - τυράννου) ὃς ὑπὸ τοῦ τ. δ. αὐτίκα Mc. — [27] εἶτα *add.* Mc. — [28] ἐνεγκόντες Mc. — [29] καὶ τούτου Mc. — [30] ἐπεσπάσατο Mc. — [31] (τῶν - ἐν) τῶν χριστιανῶν τοῦ βασιλέως κινήσαντος κἀκείνων ἔν τινι Mc. — [32] ἐκεῖσε *add.* Mc. — [33] σώζοντι προσῆγον Θ. Mc. — [34] ἕτερος β. Mc. — [35] κατὰ τοὺς ἁγίους ἤκουε Mc. — [36] ἀχθῆναι Mc. — [37] βληθῆναι ἐν αὐτῇ τοὺς ἁγ. οὐ Mc. — [38] φυλαχθέντων ἀφ. Mc. — [39] τ. ἁ. *om.* Mc. — [40] πιστεύοντας Mc. — [41] τοῦτον Mc. — [42] ἀλλὰ καὶ ἔκτοτε πολλὰ Mc. — [43] κατειργασάμενος Mc. — [44] ἀναγείρας Mc. — [45] (πάντα - τελέσας) πᾶσι πάντα κοσμήσας Mc. — [46] ὄνομα Mc. — [47] π. τ. β. ἀπολιπὼν πρὸς τὸν π. Θεὸν Mc.

2. — [1] Γαβηνίου D. — [2] *om.* D, Ῥοδοστόλου S. — [3] ἐξησκημμένος γρ. S, καὶ τοῖς ἐντυγχάνουσι πάντας ὑπανοίγων καὶ ἐξαπλῶν *add.* D. — [4] D, ἐν S. — [5] *om.* D. — [6] πρὸς αὐτοὺς *add.* D. — [7] ἀμετάτρεπτον D. — [8] (τῆς - ὁμολογήσας) ἐφ' οἷς εἶπεν ἐπιδειξάμενος καὶ στερρῶς λόγου δυνάμει τῆς πλάνης καταδραμὼν καὶ τὸν Χριστὸν Θεὸν εἶναι δημιουργὸν πάντων ὁμολογήσας συμφρονούντων αὐτῷ καὶ συνεπαινούντων τῶν ἁγίων τὰ παρ' αὐτοῦ λεγόμενα D. — [9] (μετὰ - ἐμβάλλεται) ἐβλήθησαν D. — [10] δὲ *add.* D.

APRIL. 28. καὶ ἐπὶ τὴν γῆν ἁπλωθέντες, καὶ δεθέντες χεῖρας καὶ πόδας σχοινίοις, ἐτύφθησαν ῥάβδοις. Ἐπὶ πολλαῖς τε ὥραις καταναγκασθέντες ἀρνήσασθαι μὲν τὸν Χριστὸν θῦσαι δὲ τοῖς εἰδώλοις, μὴ πεισθέντες δὲ μηδὲ μέχρι λόγου θῦσαι τοῖς δαίμοσιν, ἀπεκλείσθησαν εἰς φυλακὴν ὡσεὶ νεκροί. Καὶ μετὰ ταῦτα καμίνου μεγάλης ἀναφθείσης, τῆς φυλακῆς ἐκβληθέντες καὶ ἐν αὐτῇ ἐμβληθέντες, ἐτελειώθησαν (cf. April. 24[4]). — Μέμνονος. — **C** : 2. 1 (in marg. : Ζήτει τοῦ ἀποστόλου Ἰάσωνος ὄπισθεν φύλλ. α'). — Σίμωνος τοῦ Κανανίτου, ὃς ἐπεκλήθη Ἰούδας ὁ τοῦ Κλωπᾶ. — Εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου ἱερομάρτυρος Βασιλέως ἐπισκόπου Ἀμασείας. — Κλήμεντος τοῦ ποιητοῦ. — **Ce** : 2. — Σίμωνος. — Εὕρεσις κτλ. — Κλήμεντος. — **Cg** : 2. — Σίμωνος. — Εὕρεσις ... Βασιλείου. — Κλήμεντος. — **R** : 1. — Σίμωνος. — 2. 5. — Κλήμεντος. — **Ra** : 1. — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Οἱ διὰ τοῦ ἁγίου Ἰάσωνος πιστεύσαντες τῷ Χριστῷ ἑπτὰ λῃσταὶ ἐν λέβητι πίσσης βληθέντες τ. — Κερκύρα, ἡ τοῦ βασιλέως θυγάτηρ, βέλεσι τρωθεῖσα τ. — Εὐσέβιος π. τ. — Ζήνων καὶ Βιτάλιος. — Νέων π. τ. — Εὐόδου καὶ



APRIL. 28.

τοὺς αὐχένας ἐτμήθησαν, προστάξει τῶν ὑπάτων ἀπενεχθέντες ἐν τῷ αὐτῶν κτήματι οὕτω λεγομένῳ Ὀζοβίᾳ, ἔνθα διάγοντες συνελήφθησαν. Τὴν μέντοι τοῦ ἁγίου Μαξίμου κεφαλὴν πρὸ τῆς τελειώσεως σιδηρῷ στεφάνῳ διαλαβόντες, ἥλους ὀξεῖς ἔχοντι, κατὰ τὴν τῶν ὑπάτων πρόσταξιν· « Ὅτι » δή, φασίν, πολλὰ κατὰ τῶν θεῶν ἐβλασφή» μησεν », οὕτως ἀπέτεμον. Ἐπανήχθησαν δὲ τὰ τίμια[11] λείψανα αὐτῶν ἐν Κωνσταντινουπόλει καὶ κατετέθησαν[12] ἐν τῷ ναῷ τῆς ὑπεραγίας[13] Θεοτόκου ἐν τοῖς Βιγλεντίου, ἐν[14] ᾗ καὶ ἡ σύναξις αὐτῶν τελεῖται.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Πουπλίωνος.

4. Καὶ μνήμη Εὐλογίου τοῦ ξενοδόχου, ἐν τῷ ἁγίῳ Μωκίῳ.

5. Καὶ τὰ ἐγκαίνια τῆς ἁγίας Εἰρήνης τῆς ἀρχαίας καὶ νέας.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ'.

APRIL. 29.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μέμνονος τοῦ θαυματουργοῦ. Οὗτος[1] ἐξ ἁπαλῶν ὀνύχων τῷ Θεῷ ἑαυτὸν ἀνέθηκε, δοχεῖον καθαρὸν τοῦ ἁγίου γενόμενος Πνεύματος[2]. Ὑποτάξας γὰρ τὴν σάρκα τῷ πνεύματι καὶ ἄρξας παθῶν σαρκικῶν καὶ σκληραγωγίᾳ βιαίᾳ καὶ ἐπιπόνῳ κατατήξας ἑαυτόν[3], ἐγένετο καὶ μοναστῶν ἀρχηγός. Καὶ βίον ἀγγελικὸν βιώσας, τὴν τῶν θαυμάτων χάριν ἐπλούτησε τοῦ θεραπεύειν πάθη[4] ἀνίατα. Ὅθεν καὶ ῥείθροις δακρύων τὴν ψυχὴν ἀποσμήξας, ὕδατα ἐν αὐχμηρῷ[5] τόπῳ βλύσαι παρεσκεύασεν· καὶ βυθῷ θαλάσσης μόνον ἐπιφανεὶς πλωτῆρας χειμαζομένους πολλάκις διεσώσατο[6], ἀλλὰ καὶ ἀκρὶς μόνῃ αὐτοῦ ἐπικλήσει φυγαδεύεται. Ἐν τούτοις καλῶς βιώσας πρὸς Κύριον ἐξεδήμησεν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων ἐννέα τοῦ Χριστοῦ μαρτύρων τῶν ἐν Κυζίκῳ, Θεόγνιδος[1], Ῥούφου, Ἀντιπάτρου, Θεοστίχου[2], Ἀρτεμᾶ, Μάγνου, Θεοδότου, Θαυμασίου καὶ Φιλήμονος[3]. Οὗτοι οἱ θειότατοι μάρτυρες ἐκ διαφόρων χωρῶν ἀθροισθέντες καὶ ἐν Κυζίκῳ καταχθέντες καὶ ἐρωτηθέντες, γνώμης ἀνδρειότητι τὸν ἄρχοντα κατῄσχυναν[4] καὶ τῆς τῶν εἰδώλων πλάνης[5] κατέπτυσαν. Καὶ ποικίλαις μηχαναῖς | f. 205. αἰκισμῶν ὑποβληθέντες, οὐκ ἐπέθυσαν ἀλλὰ καὶ μᾶλλον ζῶσαν θυσίαν ἑαυτοὺς τῷ ζῶντι Θεῷ ἀνέθηκαν, διὰ ξίφους τὰς κεφαλὰς ἀφαιρεθέντες· διὸ καὶ ἰατρεῖον ἄμισθον παθῶν ἀνιάτων ἐδείχθησαν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ[1] μαρτύρων Διοδώρου καὶ Ῥοδοπιανοῦ διακόνου, μαρτυρησάντων ἐν Ἀφροδισίᾳ[2] τῆς Καρίας. Οὗτοι κατὰ τοὺς καιροὺς ὑπῆρχον Διοκλητιανοῦ τοῦ βασιλέως· καὶ διὰ τὴν εἰς Χριστὸν πίστιν ὑπὸ τῶν ἰδίων πολιτῶν[3] καὶ συμφυλετῶν ὕβρεις πολλὰς καὶ αἰκίας ὑπομείναντες καὶ μάστι-

— [11] *om.* D. — [12] ἀπετέθησαν D. — [13] παναγίας D. — [14] ἐν κτλ. *om.* D.

1. — [1] ὃς D. — [2] καθαρὸν τ. ἁ. Π. γ. D. — [3] *om.* D. — [4] ἐπλούτησε χ. τ. πάθη ἀνίατα θ. D. — [5] τινι *add.* D. — [6] βυθοῦ θ. πλωτῆρας χ. φανεὶς π. διέσωσεν D.

2. — [1] Θεόγνι D. — [2] Mc, Θεοστύχου D, Θεοστοίχου S. — [3] *hic des.* Mc. — [4] καταγέλασεν D. — [5] τὴν τῶν ἑλλήνων πλάνην D.

3. — [1] τ. Χ. *om.* D. — [2] Ἀφροδησία D. — [3] συμπολιτῶν D.

Ὀνησιφόρου. Οὗτοι ἐκ τῶν ἑβδομήκοντά εἰσιν, ὧν καὶ Παῦλος ὁ ἀπόστολος ἐν ταῖς ἐπιστολαῖς μέμνηται. Καὶ ὁ μὲν Ὀνησιφόρος ἐπίσκοπος γέγονε Κολοφῶνος, ὁ δὲ Εὔοδος ὑπὸ τοῦ Πέτρου εἰς Ἀντιόχειαν ἐνθρονίζεται. Ἀμφότεροι δὲ πειρασμοῖς οὐκ ὀλίγοις περιπεσόντες καὶ πρὸς τὴν εἰς Χριστὸν πίστιν πολλοὺς ἐπιστρέψαντες, καὶ αὐτοὶ πρὸς τὸν ποθούμενον Κύριον ἔδραμον. — **Mv** : Μέμνωνος τοῦ θαυματουργοῦ. — Τῶν ἁγίων ἐννέα μαρτύρων (April. 29[2]). — Διήγησις περὶ τοῦ γενομένου θαύματος ἐν Ἀφρικῇ ἐν τῇ πόλει Καρταγένῃ. — Πατρικίου ἐπισκόπου Προύσης, καὶ περὶ κρίσεως. — **Mr** : 1. (APRIL. 28.)

APRIL. 29. SYNAXARIA SELECTA. **H** : 3. 9. 2. — **P** : 3. — **D** : 1. 2. 3. — **Da** : 1. 2. 3. 8. 9 (Κυντιανοῦ καὶ Τατίκου). — **Db** : 1. 2. 3. 8. 9. — **K** : 1. 2. 3. 8. 9. — **N** : 1. 2. 3. 8. 9 (... καὶ Τατίκου). — **Bb** : Σίμωνος. — 2. 8. 9 (Κυντιανοῦ). — 3. — **Bc** : Σίμωνος. — 2. — **C** : 3. 1. 9 (Κυντινιανοῦ καὶ Ἀττικοῦ). — 2. — **Ce** : 3 (... Δωροπιανοῦ). — 1. 9. — **Cg** : 3. 1. 9. — **R** : 1. 2. — **Ra** : deest. — **Rb** : 2. 3. 9 (Κυντινιανοῦ καὶ Ταττίκου). — **Rc** : 2. — **Mc** : 1. 2. — Διήγησις περὶ τοῦ γενομένου θαύματος ἐν Ἀφρικῇ πόλει Καρταγένῃ. Ἐν τοῖς χρόνοις Ἡρακλείου τοῦ βασιλέως καὶ Νικήτα πατρικίου θαῦμα γέγονε τοιοῦτον ἐν Ἀφρικῇ. Ταξεώτης τις ἦν ἐν πόλει Καρταγένῃ· φθορᾶς δὲ θανασίμου ἐνσκηψάσης τῇ πόλει, ἀπῄει ἐν τῷ ἰδίῳ προαστείῳ μετὰ τῆς γυναικὸς αὐτοῦ, ὡς δῆθεν φεύγων τὸν θάνατον. Ἀλλ' ὁ διάβολος ῥίψας αὐτὸν εἰς ἁμαρτίαν, παρεσκεύασε μοιχεῦσαι τὴν γυναῖκα τοῦ γεωργοῦ αὐτοῦ· εἶτα κρουσθεὶς ἐπὶ τοῦ βουβῶνος, ἐτελεύτησε. Καὶ μετὰ τρεῖς ὥρας ἤρξατο κράζειν ἐκ τοῦ τάφου· « Ἐλεήσατέ με. » Καὶ ἀνοίξαντες εὗρον αὐτὸν ζῶντα καὶ οὐκ ἠδύνατο λαλῆσαι. Θαλάσσιος δὲ ὁ πάπας Ἀφρικῆς παρεμυθήσατο αὐτόν, καὶ μετὰ τέσσαρας ἡμέρας διηγήσατο οὕτως ὅτι· « Ἐν τῷ μέλλειν τὴν ψυχήν μου ἐξελθεῖν, » ἑώρων Αἰθίοπάς τινας φοβεροὺς ἐπανισταμένους μοι· καὶ μετὰ ταῦτα εἶδον νεανίσκους δύο ὡραίους » ἐλθόντας· ἐφ' οἷς ἐχάρη ἡ ψυχή μου. Καὶ λαβόντες με οἱ νεανίσκοι ἀνέβαινον ἐν τῷ οὐρανῷ. Τὰ γοῦν » τελώνια τῶν Αἰθιόπων ἐξήταζον πᾶσαν ἁμαρτίαν μου, ἄλλο τοῦ ψεύδους, ἄλλο τοῦ φθόνου, ἄλλο τῆς » πλεονεξίας. Ἀντετίθουν δὲ οἱ ἄγγελοι τὰς ἀγαθάς μου πράξεις. Ὅτε δὲ ἀνέβημεν εἰς τὴν πύλην τοῦ » οὐρανοῦ, συνήντησεν ἡμῖν τὸ τῆς πορνείας τάγμα καὶ προεβάλλοντο τὴν πρὸ βραχέος πραχθεῖσάν » μοι μοιχείαν. Καὶ νικήσαντες κατέσπασάν με εἰς τὰ κατώτερα μέρη τῆς γῆς, ἔνθα αἱ τῶν ἁμαρτωλῶν » ψυχαὶ κολάζονται, περὶ ὧν ἀδυνατεῖ γλῶσσα διηγήσασθαι. Θρηνοῦντι δέ μοι ἐφάνησαν οἱ δύο

APRIL. 29. γας, ἐν Ἀφροδισίᾳ κατὰ[4] τὴν ἀγορὰν ὑπ' αὐτῶν λιθολευστούμενοι τῷ Κυρίῳ τὰ ἑαυτῶν παρέδωκαν πνεύματα.

**4.** Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας Θεοδοσίας τῆς παρθένου.

**5.** Καὶ τῶν ἁγίων μαρτύρων Γαλίκου[1], Βιθυνίου καὶ Δίου.

**6.** Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἠληρίου[1] τοῦ θαυματουργοῦ.

**7.** Καὶ τοῦ ἁγίου μάρτυρος Ἑρμαίου τοῦ ἐν τῷ Σιρμίῳ.

**8.** Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Αὐξιβίου.

**9.** Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Κυντιανοῦ καὶ Ἀττικοῦ.

## ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ'.

APRIL. 30. **1.** Ἄθλησις τοῦ ἁγίου καὶ[1] ἐνδόξου[1] ἀποστόλου Ἰακώβου υἱοῦ[1] Ζεβεδαίου[1], ἀδελφοῦ δὲ[2] Ἰωάννου εὐαγγελιστοῦ[1] τοῦ θεολόγου. Οὗτος[3] μετὰ[4] τὴν τοῦ Ἀνδρέου καὶ Πέτρου κλῆσιν ὑπ' αὐτοῦ τοῦ Κυρίου εἰς μαθητείαν σὺν τῷ ἀδελφῷ Ἰωάννῃ[1] προσκαλεῖται[5]· οἳ καὶ εὐθέως τόν τε πατέρα καὶ τὸ πλοῖον καὶ ἁπλῶς ἅπαντα[6] καταλιπόντες ἠκολούθησαν αὐτῷ[7]· καὶ τοσοῦτον αὐτοὺς ἠγάπησεν, ὡς τῷ μὲν τὸ στῆθος ἑαυτοῦ[8] δεδωκέναι, τῷ δὲ πιεῖν τὸ ποτήριον[9] ὃ αὐτὸς ἔπιε. Καὶ αὐτοὶ τοσοῦτον αὐτὸν πάλιν ἠγάπησαν καὶ τοσοῦτον ὑπὲρ αὐτοῦ τὸν ζῆλον[10] ἐπεδείξαντο, ὥστε

— [4] (ἐν - κατὰ) καὶ τέλος κατὰ τὰ D.
5. — [1] *al.* Γαλύκου S, *cf. April.* 3[3].
6. — [1] *al.* Κληρίου S, *cf. April.* 3[1].
1. — [1] *om.* Mc. — [2] τοῦ ἁγίου Mc. — [3] υἱὸς μὲν ἦν Ζεβεδαίου ἀδελφὸς δὲ Ἰωάννου τοῦ θεολόγου *add.* Mc. — [4] δὲ *add.* Mc. — [5] προσεκλήθη Mc. — [6] πάντα Mc. — [7] αὐτῷ ἠκ. Mc. — [8] αὐτοῦ Mc. — [9] ποτ. πιεῖν Mc. — [10] ζῆλον ὑπὲρ αὐτοῦ Mc.

---

APRIL. 29. » νεανίσκοι, οἷς κλαίων ἔλεγον· Ἐλεήσατέ με καὶ ἵνα μετανοήσω. Τότε λέγει ὁ εἷς τῷ ἑτέρῳ· Ἀντιφωνεῖς » αὐτῷ ἵνα μετανοήσῃ; Ὁ δὲ λέγει· Ἀντιφωνῶ. Τότε ἀναγαγόντες με εἰσήγαγον ἐν τῷ τάφῳ καὶ εἶδον » τὸ σῶμά μου ὡς πηλὸν καὶ βόρβορον καὶ οὐκ ἤθελον εἰσελθεῖν ἐν αὐτῷ. Οἱ δὲ εἶπόν μοι· Ἀδύνατόν » ἐστιν ἄλλως μετανοῆσαί σε εἰ μὴ διὰ τοῦ σώματος, μεθ' οὗ ἥμαρτες. Τότε οὖν εἰσῆλθον, καὶ τοῦ » σώματος ψυχωθέντος, βοᾶν ἠρξάμην. » Ταῦτα εἰπὼν καὶ τεσσαράκοντα ἡμέρας ἐπιβιοὺς ἄσιτος, κλαίων καὶ ὀδυρόμενος, πάλιν ἐκοιμήθη. — Διήγησις τοῦ ἁγίου ἱερομάρτυρος Πατρικίου ἐπισκόπου Προύσης περὶ κρίσεως καὶ τόπων κολαστικῶν. Ὁ ἅγιος ἱερομάρτυς οὗτος Πατρίκιος ἔφη, ὅτι δύο τόπους ἡτοίμασεν ὁ Θεός, ἕνα πολλῶν ἀγαθῶν κτλ. Des. : περὶ τῆς μελλούσης διὰ πυρὸς γενήσεσθαι ὑπὸ Θεοῦ κρίσεως. — **Mv** : Ἰάσωνος καὶ Σωσιπάτρου (April. 28[1]). — Τῶν ἁγίων ἑπτὰ μαρτύρων λῃστῶν οἱ διὰ τοῦ ἀποστόλου Ἰάσωνος πιστεύσαντες... — Κερκύρας. — Ζήνωνος καὶ Βιταλίου π. τ. — Εὐσέβιος π. τ. — **Mr** : 2. 1.

APRIL. 30. SYNAXARIA SELECTA. **H** : Ἰακώβου τοῦ ἀδελφοθέου... Des. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ αὐτοῦ ναῷ τῷ ὄντι ἔνδοθεν τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις (Oct. 23[1]). — **P** : Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — **D** : Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου. Οὗτος ὁ ἅγιος Ἰάκωβος ἦν υἱὸς Ἰωσὴφ ἀδελφὸς δὲ τοῦ Κυρίου διὰ τὴν τοῦ Ἰωσὴφ πρὸς τὴν ἁγίαν Θεοτόκον μνηστείαν· ἐκαλεῖτο δὲ τὸ πρότερον Ὀβλίας, ὃ ἑρμηνεύεται περιοχὴ παθῶν, Ἰάκωβος δὲ πτερνιστής. Ἐχειροτονήθη δὲ ὑπὸ τοῦ Κυρίου ἐπίσκοπος Ἱεροσολύμων· διὰ δὲ τὴν ἄκραν ἐγκράτειαν — καὶ γὰρ εὐθὺς ἦν ὁ ἅγιος ἐξ αὐτῆς τῆς γεννήσεως μήτε οἶνον μήτε σίκερα πεπωκώς, μήτε ἔμψυχόν τι φαγών, μήτε ἔλαιον, μήτε βαλανείῳ ἀπολούσας καὶ θεραπεύσας τὸ σῶμα — καὶ παρ' αὐτοῖς τοῖς Ἰουδαίοις αἰδέσιμος ὢν καὶ τὸν δίκαιον εἶχε προσηγορίαν. Γενομένης δὲ ζητήσεως παρὰ τοῖς ἀποστόλοις, εἰ δεῖ[1] τοὺς ἐξ ἐθνῶν προσερχομένους τῷ λόγῳ τῆς χάριτος τὴν ἐν τῷ νόμῳ ἀκρίβειαν παρὰ τοῦ Θεοῦ τῷ Μωϋσεῖ νομοθετηθεῖσαν φυλάττειν, ἀπεκρίθη ὁ μέγας Ἰάκωβος, μετὰ τοῦ κορυφαίου Πέτρου τὸν τοῦ Θεοῦ λόγον καταγγείλας, ὅτι· « Συμεὼν ἐξηγήσατο, καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν τῷ ὀνόματι αὐτοῦ· καὶ
Act. 15, 19. 20. » τοῦτο συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν. » Καὶ μετ' ὀλίγον φασίν· « Κρίνω ἐγὼ μὴ παρενοχλεῖν » τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι πρὸς τὸν Θεόν, ἀλλ' ἐπιστεῖλαι αὐτοῖς ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων εἰδώλων καὶ τῆς πορνείας καὶ τοῦ αἵματος καὶ τοῦ πνικτοῦ. » Καὶ ὁ λόγος ἔργον ἐγένετο καὶ κατὰ τὸν τύπον τοῦτον οἱ ἀπόστολοι ἔγραψαν, οἷον Ἰάκωβος ἔκρινεν. Τινὲς οὖν συστραφέντες ἐπ' αὐτὸν τῶν ἐκ τῶν ἑπτὰ αἱρέσεων, ὧν κατῆρχεν ὁ Ἄνανος, ὅτε ὑπὸ τοῦ Φήστου[2] δέσμιος ὁ Παῦλος ἐπικαλεσάμενος Καίσαρα εἰς Ῥώμην ἐπέμφθη, ἠνάγκαζον ἀρνήσασθαι τὸν Χριστόν, εἰς τὸ μέσον αὐτὸν ἀγαγόντες καὶ πρὸς αὐτὸν ἔλεγον· « Εἰπὲ ἡμῖν, δίκαιε, τίς ἐστιν ἡ θύρα τοῦ Ἰησοῦ; » Ὁ δὲ πρὸς αὐτούς· « Οὗτός » ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ Ἰησοῦς ὁ Χριστός. » Καὶ ἀναγαγόντες αὐτὸν ἐπὶ τὸ τοῦ ἱεροῦ πτερύγιον, ὥστε τῷ πλήθει γενέσθαι κατήκοον, καὶ πάλιν ἐρωτήσαντες· « Τίς ἐστιν ἡ θύρα τοῦ Ἰησοῦ; » τοῦ δὲ τὸν Χριστὸν ἀποφηναμένου, ὃς ἐκ δεξιῶν κάθηται τοῦ Θεοῦ καὶ μέλλει κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἀνακραγόντες μέγα ὅτι « Καὶ ὁ δίκαιος πεπλάνηται » ὦσαν αὐτὸν ἐκ τοῦ μετεώρου καὶ λίθους ἔβαλλον κατ' αὐτοῦ, ὑπὲρ αὐτῶν προσευχόμενον καὶ δι' αὐτὸν ἁμαρτίαν συγχωρηθῆναι αὐτοῖς ἐξαιτούμενον. Ἔνθα τις τῶν ἱερέων τῶν υἱῶν Ῥηχὰβ[3] τοῖς λοιποῖς παύσασθαι παρεγγυήσας, ὅτι δὴ ὑπὲρ αὐτῶν ὁ δίκαιος εὔχεται, αὐτὸς ξύλον ἀπό τινος κναφείου λαβών, ἐν ᾧ συνέκναπτον καὶ συνέθλιβον τὰ ἱμάτια, καὶ κατὰ τῆς κεφαλῆς πατάξας τὸν ἅγιον, τέλος αὐτῷ ἐπήνεγκεν τῆς προσκαίρου ζωῆς κατὰ τὰς ἡμέρας

[1] δὴ D. — [2] Φίστου D. — [3] Ῥιχὰμ D.



APRIL. 30. πῦρ ἀπ' οὐρανοῦ θελῆσαι κατενεγκεῖν καὶ ἀναλῶσαι τοὺς μὴ πιστεύοντας· καὶ τάχα ἂν τοῦτο ἔδρασαν, εἰ μὴ[11] ἡ αὐτοαγαθότης ὁ Χριστὸς τούτους[12] τοῦτο ποιῆσαι διεκώλυσε. Διὰ ταῦτα αὐτούς τε καὶ τὸν κορυφαῖον Πέτρον[12] ἀεί ποτε ἐν ταῖς προσευχαῖς καὶ ταῖς ἄλλαις[13] οἰκονομίαις παρελάμβανε, τὰ ὑψηλότερα καὶ μυστικώτερα τῶν δογμάτων μυσταγωγῶν καὶ[12] κοινωνῶν[12]. Τοῦτον[14] τὸν μακάριον Ἰάκωβον μετὰ τὸ πάθος καὶ τὴν ἀνάληψιν τοῦ κυρίου[15] καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μὴ φέρων ὁρᾶν ὁ Ἡρώδης παρρησιαζόμενον καὶ τὸ σωτήριον[16] κήρυγμα καταγγέλλοντα, τὰς χεῖρας ἐπιβαλὼν ἀνεῖλε μαχαίρᾳ, δεύτερον μάρτυρα μετὰ Στέφανον τῷ δεσπότῃ παραπέμψας Χριστῷ, ᾧ[17] πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

— [11] (καὶ - μὴ) εἰ καὶ Mc. — [12] *om.* Mc. — [13] κρείττοσιν *add.* Mc. — [14] οὖν *add.* Mc. — [15] ἡμῶν *add.* Mc. — [16] θεῖον Mc. — [17] ᾧ κτλ. *om.* Mc.

---

APRIL. 30. τοῦ πάσχα· ἀπὸ γὰρ τῆς πρώτης ἡμέρας ἕως τῆς ν' πάσχα λέγεται, καὶ διὰ τοῦτο παρῆσαν Ἰουδαίων ὄχλος πανταχόθεν διὰ τὴν ἑορτὴν ἀθροισθέντες. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ αὐτοῦ ναῷ, τῷ ὄντι ἔνδοθεν τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις· τὴν δὲ ἀκολουθίαν πᾶσαν ζήτει μετὰ τὴν Χριστοῦ γέννησιν ἐρχομένην κυριακήν. Τινὲς δὲ τὴν τούτου μνήμην τῇ κγ' τοῦ ὀκτωβρίου[4] μηνὸς τελοῦσιν. — 1. — **Da** : 1. — **Db** : 1. — **K** : 1. — **N** : 1. — **Bb** : Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — Περὶ τοῦ γενομένου θαύματος ἐν τῇ Ἀφρικῇ. — Περὶ τοῦ πυρὸς τοῦ ὑποκάτω τῆς γῆς καὶ τῶν θερμῶν ὑδάτων. — **Bc** : Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — **C** : Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — 1 (**in marg.** : Ζήτει τὸ συναξάριον τοῦ ἀποστόλου Ἰακώβου, ἀδελφοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου, νοεμβρίου ιε'). — Θαῦμα γενόμενον ἐν Ἀφρικῇ. — Περὶ τοῦ πυρὸς κτλ. — **Ce** : 1 (Ζήτει νοεμβρίου ιε'). — Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — **Cg** : Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. — Θαῦμα γενόμενον ἐν Ἀφρικῇ τῇ πόλει Καρταγένης. Ἐν τοῖς χρόνοις Ἡρακλείου τοῦ βασιλέως κτλ. Des. : κλαίων καὶ ὀδυρόμενος καὶ ἄσιτος διαμένων πάλιν ἐκοιμήθη. — Περὶ τοῦ πυρὸς τοῦ ὑποκάτω τῆς γῆς καὶ τῶν θερμῶν ὑδάτων, ἐκ τοῦ λόγου τοῦ ἁγίου Πατρικίου τοῦ ἐπισκόπου, καὶ πάλιν περὶ τοῦ ἐκ τῆς γῆς ἀναδιδομένου πυρὸς ἐν διαφόροις τόποις καὶ τοῦ κολαστικοῦ, ἐκ τοῦ λόγου τοῦ ἁγίου Πιονίου. Ὁ μὲν ἅγιος ἱερομάρτυς Πατρίκιος λέγει, ὅτι δύο τόπους ἡτοίμασεν ὁ Θεός, ἕνα πολλῶν ἀγαθῶν, ὧν οἱ δίκαιοι ἀπολαύουσι, καὶ ἕνα σκότους καὶ πυρός, ἔνθα οἱ ἁμαρτωλοὶ κολασθήσονται· καὶ ὅτι τὸ πῦρ οὐ μόνον εἰς πᾶσαν τὴν γῆν κατεκερμάτισεν ὁ Θεὸς ἀλλὰ καὶ ἐν τῷ οὐρανῷ πῦρ καὶ ὕδωρ· <ἄλλο γὰρ τὸ ἐπάνω τῆς γῆς ὕδωρ[5],> ὅπερ λέγεται θάλασσα, καὶ ἄλλο τὸ ὑποκάτω τῆς γῆς τὸ λεγόμενον ἄβυσσος, ἐξ οὗ ὥσπερ σίφωνες ἀναπέμπονται αἱ πηγαὶ πρὸς ζωὴν ἡμετέραν. Ἐκ δὲ τοῦ πυρὸς τὰ θερμὰ ὕδατα ἀναπέμπονται, τὰ μὲν μᾶλλον τὰ δὲ ἧττον· τὸ δὲ ὑποκάτω τῆς γῆς πῦρ ὥς φασι κολαστήριόν ἐστι ψυχῶν ἀσεβῶν, ὡς καὶ τὸ κατώτατον καὶ κεκρυσταλλωμένον ὕδωρ τάρταρος, ἔνθα οἱ λεγόμενοι θεοὶ τῶν ἑλλήνων καὶ οἱ αὐτῶν λατρευταὶ κολάζονται αἰωνίως. Ὁ δὲ ἅγιος Πιόνιος λέγει ὅτι· « Ἐγὼ τὴν Ἰουδαίων περιελθὼν καὶ » περάσας τὸν Ἰορδάνην, ἐθεασάμην γῆν μαρτυροῦσαν ὀργὴν Θεοῦ ἕως τοῦ νῦν, δι' ἃς ἐποίουν οἱ ἀσεβεῖς ἁμαρτίας, ξενοκτονοῦντες καὶ εἰς αἰσχρὰ βιαζόμενοι· εἶδον καπνὸν εἰσέτι καὶ νῦν διαβαίνοντα καὶ » γῆν περιτεφρουμένην, ἄμοιρον παντὸς καρποῦ καὶ πάσης ὑγρᾶς οὐσίας. Ἐπεὶ δὲ τοῦτο μακρὰν θεάσασθαι τὸ ἄμοιρον ἐν Αἴτνῃ πῦρ, διὸ μαρτυρούμεθα περὶ τῆς μελλούσης διὰ πυρὸς γίνεσθαι κρίσεως » ὑπὸ τοῦ Θεοῦ διὰ τοῦ λόγου αὐτοῦ. » Καὶ ταῦτα μὲν οἱ ἅγιοι. Εἴ τις δὲ ἀπιστοίη, κατανοησάτω τὴν Λίπαριν νῆσον, ἥπερ τοσοῦτον ἐκπυροῦται, ὡς καὶ τὴν θάλασσαν ποιεῖν κοχλάζειν καὶ τὰ εὑρεθέντα πλοῖα διαρρηγνύειν, διαλυομένης τῆς πίσσης· βροντῶν δὲ στερρῶν ἐκ τοῦ νησίου τούτου[6] γινομένων, τὴν Λίπαριν δονεῖσθαι καὶ τρέμειν καὶ ἀνέρχεσθαι ψάμμον ἐκ τῆς θαλάσσης πεπυρωμένην ἐκ τῶν κατωτάτων τῆς γῆς, καὶ αἴρεσθαι εἰς ὕψος ἄπειρον, καὶ ἀπάγεσθαι ὑπὸ τοῦ ἀνέμου, ὅπου συμβῇ ἐκπεσεῖν. Λέγουσι δὲ καὶ τοῦτο ὅτι· ἡνίκα τις ἀσεβὴς καὶ παράνομος ἀκουσθῇ ὅτι τὸν βίον ἀπέλιπε, τότε κἀκεῖνοι οἱ τόποι τὰς ἐκπυρώσεις καὶ τὰς βροντὰς ἔχουσιν, ὡς ἐν αὐτοῖς καταδικαζομένων τῶν ψυχῶν αὐτῶν. Διὰ δὲ τῶν τόπων τούτων κἀγὼ Γρηγόριος παρερχόμενος, μετὰ τὸ γενέσθαι τὴν ἐν Νικαίᾳ τὸ δεύτερον ἁγίαν σύνοδον, ἤκουσα καὶ εἶδον τὰ τοιαῦτα θαυμάσια. Καὶ γενόμενος καὶ ἐν Νεαπόλει τὴν πορείαν ποιούμενος πρὸς τὴν πρεσβυτέραν Ῥώμην διὰ θαλάσσης, ἑώρακα ἐν τῇ αὐτῇ Νεαπόλει τὸ πρὸ ἓξ μιλίων τῆς πόλεως παρακείμενον φαραγγῶδες ὄρος βλύσαν τὸ θεῖον πῦρ ὥσπερ <ὕδωρ[7]> ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους καὶ κατελθὸν μέχρι μιλίων ἕξ· ὅπερ ἐπὶ ἓξ ἡμέραις κείμενον κατέφλεξε τὴν γῆν καὶ τοὺς λίθους καὶ τὰ ξύλα καὶ ἐποίησε πάντα τέφραν, ἕως οὗ Στέφανος, ὁ τηνικαῦτα ὁσιώτατος ἐπίσκοπος, μετὰ λιτῆς ἐξελθὼν καὶ πλησίον αὐτοῦ γενόμενος ἐδεήθη τοῦ Θεοῦ καὶ κατεπαύθη. Ἡνίκα δὲ ἐκαίετο, ἀνέβαινον ἐκ τῆς γῆς λίθοι παμμεγέθεις μέσον τοῦ πυρὸς καὶ ἐρρίπτοντο εἰς ὕψος ἄπειρον, καὶ ἦν τῇ ἡμέρᾳ στύλος καπνοῦ φαινόμενος ἕως τοῦ οὐρανοῦ καὶ τῇ νυκτὶ πυρός. Ταῦτα δὲ πάντα πρὸς μετάνοιαν ὁ Θεὸς τοῖς ἀνθρώποις ἐνδείκνυσι, ὅπως τῶν τῆς πονηρίας ὁδῶν ἀναθέντες τὰς σωτηριώδεις καὶ ἀπλανεῖς τρίβους βαδίσαντες, τῆς τῶν οὐρανῶν βασιλείας ἐν μετουσίᾳ γενήσονται, ἧς πάντας ἡμᾶς ἐπιτυχεῖν γένοιτο[8]· ἀμήν. — **R** : 1 (des. : τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ... ἐν Χαλκοπρατείοις). — **Ra** : 1. — Διοδώρου καὶ Ῥοδοπιανοῦ (April. 29[3]). — Κυντιανοῦ καὶ Τατίκου (April. 29[3]). — Δάδα, Μαξίμου καὶ Γαβίνου (April. 29[6]). — **Rb** : 1. — **Rc** : 1. — **Mc** : 1. — Ὁ ἅγιος Κλήμης ὁ ποιητὴς τῶν κανόνων ἐν εἰρήνῃ τ. (Mai 27[3]). — Ἡ εὕρεσις τῶν λειψάνων τοῦ ἁγίου μάρτυρος Βασιλείου ἐπισκόπου

— [4] ὀκτωμβρίου D. — [5] (ἄλλο - ὕδωρ) *suppleri ex* C. — [6] τούτων Cg. — [7] *suppleri ex* C. — [8] γενέσθαι Cg.

April. 30. Ἀμασείας. — Δονάτου ἐπισκόπου Εὐροίας. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας τοῦ μεγάλου Θεοδοσίου, ἐπίσκοπος ἐν πόλει καλουμένῃ Εὐροίᾳ κατὰ τὴν παλαιὰν Ἤπειρον. Ἔστι δὲ χωρίον τῆς αὐτῆς πόλεως Σωρεία καλούμενον, ἐν ᾧ ἦν πηγὴ ὕδατος· καὶ ὅσοι ἂν ἔπιον ἐξ αὐτῆς, πικρῷ θανάτῳ παρεδίδοντο. Μαθὼν δὲ τοῦτο ὁ ἁγιώτατος ἐπίσκοπος Δονάτος, ἀφίκετο πρὸς τὴν πηγὴν μετὰ τῶν συνόντων αὐτῷ κληρικῶν. Καὶ ἅμα τῷ καταλαβεῖν αὐτὸν βροντὴ γέγονε· καὶ εὐθέως ἐξελθὸν τὸ θανατηφόρον ἐκεῖνο ζῷον ἀπὸ τῆς πηγῆς, συνήντησε τῷ μακαρίῳ, καὶ τῷ οὐραίῳ αὐτοῦ ἐπειρᾶτο συμπεριλαβεῖν τοὺς πόδας τοῦ ὄνου, ἐν ᾧ ἐπωχεῖτο ὁ μακάριος. Ὁ δὲ περιστραφεὶς καὶ ἰδὼν τὸ θηρίον, τὸ φραγγέλιον, δι' οὗ τὸ ὑποζύγιον ἔτυπτε, κατὰ τῶν νώτων τοῦ θηρὸς θέμενος, καιρίαν μάστιγα διὰ τούτου δέξασθαι τὸν θῆρα παρεσκεύασεν· ὃς καὶ παρευθὺ πεσὼν ἀπέψυξε. Τότε συλλέξαντες ξύλα οἱ τοῦ παραδόξου θαύματος ἐπόπται, κατέκαυσαν τὸ θηρίον· οὐδεὶς δὲ ἐτόλμα τοῦ ὕδατος ἅψασθαι. Ὁ δὲ ἅγιος εὐχὴν ποιήσας καὶ πρῶτος πιὼν ἐπέτρεψε καὶ αὐτοῖς ἀδεῶς πίνειν· ἐξ οὗ πάντες πιόντες καὶ ἐμφορηθέντες ἀβλαβεῖς εἰς τὰ ἴδια ἐπορεύοντο. Ταῦτα μαθὼν ὁ βασιλεὺς Θεοδόσιος μετεκαλέσατο πάντας τοὺς ἐκεῖσε ἐπισκόπους, καὶ ποῖός ἐστι Δονάτος ὁ ἐπίσκοπος ἐπυνθάνετο, ὁ τὸν δράκοντα θανατώσας διὰ τοῦ φραγγελίου. Οἱ δὲ ὑπέδειξαν αὐτὸν λέγοντες· « Οὗτός ἐστι, βασιλεῦ. » Καὶ ὁ βασιλεὺς κατασπασάμενος αὐτὸν ἀπήγαγε πρὸς τὴν βασίλισσαν· καὶ πεσόντες ἀμφότεροι ἐπελάβοντο τῶν ποδῶν αὐτοῦ ἐκλιπαροῦντες καὶ λέγοντες· « Δοῦλε τοῦ Θεοῦ, παρακλήθητι καὶ ποίησον μεθ' ἡμῶν ἔλεος. Μονογενὲς γὰρ » θυγάτριον ἔχοντες ὑπὸ δεινοῦ πνεύματος ἐνοχλούμενον, μεγάλως τὴν ψυχὴν συντριβόμεθα. Εἰ οὖν » θεραπεύσεις αὐτήν, λάβε τὸ ἥμισυ τῆς οὐσίας αὐτῆς. » Ὁ δὲ ἅγιος ἔφη· « Θεαθήτω μοι ἡ παῖς. » Οἱ δὲ εἰσήγαγον τὸν ἅγιον πρὸς αὐτήν· καὶ ἐξετασθεὶς εὐθὺς ὁ δαίμων παρὰ τοῦ ἁγίου ἐδιώχθη ἀπὸ τῆς κόρης. Τότε τοῦ βασιλέως τὸ ὑποσχεθὲν εὐτρεπίζοντος, οὐ κατεδέξατο ὁ μακάριος. Ἰδὼν δὲ τὴν πρόθεσιν αὐτῶν τὴν ἀγαθήν, ᾐτήσατο τόπον τινὰ δοθῆναί οἱ, τῆς χώρας αὐτοῦ πλησίον κείμενον, ἐπιτήδειον ὄντα εἰς ναὸν Ὀμφάλιον οὕτω καλούμενον· οἱ δὲ ἀπεντεῦθεν δι' ἐγγράφου προστάγματος ἐδωρήσαντο τὸν τόπον αὐτῷ. Ὁ μακάριος οὗτος καὶ νεκρὸν ἀνέστησε, κωλυόμενον ταφῆναι, εἰ μὴ τὸ ὀφειλόμενον τῷ δανειστῇ χρέος ἀποδῷ· μετὰ δὲ τὸ διαλεχθῆναι τῷ δανειστῇ περὶ τοῦ ζητήματος, διαρραγῆναι καὶ τὸ τούτου χειρόγραφον, καὶ αὐτὸν πάλιν κοιμηθῆναι προσέταξεν, ἄχρις ἂν ἡ κοινὴ πάντων ἀνάστασις γένηται. Ἐπεὶ δὲ καὶ ὑετὸς ἐπὶ γῆς οὐκ ἦν καὶ στεγανὸς ὁ οὐρανὸς πᾶσιν ἐφαίνετο, ὁ βασιλεύς· « Τίμιε πάτερ, » φησὶ πρὸς τὸν ἅγιον, « οὐ μικρῶς ἡ πόλις δι' ὄχλου μοι γέγονεν ἀναβοῶσα » δυνατῶς ἔχειν σε ὑετὸν ἐξ οὐρανοῦ καταγαγεῖν· πλήρωσον οὖν καὶ τὴν τοιαύτην μου αἴτησιν. » Καὶ ὁ ἅγιος ἐξελθὼν αὐτίκα τῆς πόλεως, προσηύξατο· καὶ τοσοῦτος ὑετὸς εὐθέως ἐρρύη ἔνδον τε καὶ ἔξω τῆς πόλεως καὶ ἐπὶ τῶν πέριξ χωρῶν, ὡς κατακλυσμόν τινα δοκεῖν αὐτὸν ἄντικρυς. Ὁ δὲ βασιλεὺς ἐφρόντιζε τοῦ ἁγίου ἐπὶ τῷ λάβρῳ[9] τοῦ ὑετοῦ ὅτι μονοχίτων ἦν. Ἀλλὰ μετὰ μικρὸν ἐλθὼν εἰς τὰ βασίλεια ὁ μακάριος, εὑρέθη οὐδὲ βραχεῖάν τινα νοτίδα φέρων ἐν ἑαυτῷ. Καὶ ἦν θαυμαζόμενος ὑπὸ πάντων. Ἐτέρπετο δὲ καὶ ὁ βασιλεὺς ἐξαιρέτως τοῖς λόγοις αὐτοῦ, καὶ δοὺς αὐτῷ χρυσίον ἱκανὸν λόγῳ τῆς τοῦ ναοῦ οἰκοδομῆς καὶ ἄλλα τινὰ ἐπιτήδεια εἰς τὸν τούτου καλλωπισμόν, ἐξαπέστειλεν οἴκαδε. Ἀπελθὼν δὲ καὶ οἰκοδομήσας τὸν ναὸν καὶ τάφον αὐτοῦ εὐτρεπίσας καὶ εἰς τέλειον γῆρας ἐλάσας, ἀπῆλθε πρὸς Κύριον. — **Mv** : 1. — Κλήμεντος. — Τοῦ ἁγίου μάρτυρος Μαξίμου. — Ἡ εὕρεσις ... Βασιλέως. — Δονάτου. — **Mr** : 1.

— [9] λαύρου Mc.

f. 205v.

# ΜΗΝ ΜΑΙΟΣ

ἔχων ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιδ καὶ ἡ νὺξ ὥρας ι.

## ΕΙΣ ΤΗΝ Α'.

Mai 1. **1.** Ἄθλησις[1] τοῦ ἁγίου καὶ[2] ἐνδόξου[2] προφήτου Ἱερεμίου. Οὗτος ἐκ μήτρας ἡγιάσθη· ἦν δὲ ἐξ Ἀναβὼθ[3] χώρας τῆς Ἰουδαίας[4]. Ἐν δὲ Τάφναις[5] τῆς Αἰγύπτου λίθοις βληθεὶς ὑπὸ τοῦ λαοῦ, ἀποθνήσκει καὶ τίθεται ἐν τόπῳ τῆς οἰκήσεως Φαραώ, ὅτι οἱ Αἰγύπτιοι ἐδόξασαν αὐτόν, εὐεργετηθέντες ὑπ' αὐτοῦ. Ηὔξατο γάρ, καὶ αἱ ὀλοθρεύουσαι αὐτοὺς ἀσπίδες ἀπέθανον καὶ οἱ ἐν τοῖς ὕδασι θῆρες, οὓς καλοῦσι μὲν Αἰγύπτιοι νεφὼθ ἕλληνες δὲ κροκοδείλους· καὶ ὅσοι εἰσὶ πιστοί, ἕως τῆς σήμερον, εὔχονται ἐν τῷ τόπῳ ἐκείνῳ καὶ λαμβάνοντες τὸν[2] χοῦν δήγματα ἀσπίδων θεραπεύουσιν. Φασὶν δὲ ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν[6] ἐπιστὰς τῷ τάφῳ τοῦ προφήτου καὶ μαθὼν τὰ κατ' αὐτοῦ[7], εἰς Ἀλεξάνδρειαν μετέστησεν αὐτοῦ τὰ λείψανα· καὶ ταῦτα πανταχοῦ τῆς πόλεως κατασπείρας καὶ κύκλῳ ταύτης αὐτὰ περιθεὶς τὰς μὲν ἀσπίδας ἐκεῖθεν ἀπεδίωξεν[8], ἀντεισήγαγε δὲ τοὺς ὄφεις τοὺς λεγομένους ἀργάλους[9], οὓς ἐκ τοῦ Ἄργους ἤνεγκεν, ἐκεῖθεν ἔχοντας τὴν προσηγορίαν. Δέδωκε δὲ ὁ προφήτης σημεῖον τοῖς ἱερεῦσιν Αἰγύπτου, ὅτι δεῖ σεισθῆναι τὰ εἴδωλα αὐτῶν καὶ συμπεσεῖν διὰ[10] σωτῆρος παιδίου[11] γεννωμένου ἐν φάτνῃ· καὶ διὰ τοῦτο ἕως[12] νῦν θεοποιοῦσι παρθένον λοχὸν[13] καὶ βρέφος ἐν φάτνῃ τιθέντες[14] προσκυνοῦσιν. Διά τοι καὶ Πτολεμαίῳ τῷ βασιλεῖ πυνθανομένῳ τὴν αἰτίαν ἔλεγον ὅτι· « Πατροπαράδοτόν ἐστι[15] μυστήριον » ὑπὸ ὁσίου προφήτου τοῖς πατράσιν ἡμῶν παρα» δοθέν, καὶ ἐκδεχόμεθα, φησίν[16], τὸ πέρας τοῦ » μυστηρίου. » Λέγεται δὲ περὶ τοῦ προφήτου ὅτι πρὸ τῆς ἁλώσεως τοῦ ναοῦ ἥρπασε τὴν κιβωτὸν τοῦ νόμου καὶ τὰ ἐν αὐτῇ, καὶ ἐποίησεν αὐτὰ ὑπὸ πέτρας καταποθῆναι. Καὶ εἶπε τοῖς παρεστῶσιν· « Ἀπεδήμησε Κύριος ἐν Σινᾷ εἰς τὸν οὐρανὸν καὶ » πάλιν ἐλεύσεται νομοθετῆσαι ἐν Σινᾷ ἐν δυνάμει· » καὶ σημεῖον ὑμῖν ἔσται τῆς παρουσίας αὐτοῦ, » ὅταν ξύλον πάντα τὰ ἔθνη προσκυνήσουσιν[17]. » Εἶπε δὲ ὅτι τὴν κιβωτὸν ταύτην οὐδεὶς ἐκβαλεῖ[18] εἰ μὴ Ἀαρὼν μόνος ὁ ἱερεύς, καὶ τὰς ἐν αὐτῇ πλάκας οὐδεὶς ἀναπτύξει οὐκέτι οὐχ ἱερέων οὐδὲ προφητῶν, εἰ μὴ Μωυσῆς ὁ ἐκλεκτὸς τοῦ Θεοῦ, καὶ ἐν τῇ ἀναστάσει πρώτη ἡ κιβωτὸς ἀναστήσεται καὶ ἐξελεύσεται καὶ τεθήσεται ἐν ὄρει Σινᾷ καὶ πάντες οἱ ἅγιοι πρὸς αὐτὴν συναχθήσονται, ἐκδεχόμενοι

1. — [1] *in marg. sup.* Ὦ Χριστέ S. — [2] *om.* Mc. — [3] S, Mc, *lege* Ἀναθὼθ, Ierem. *I, 1.* — [4] χώρας τ. Ἰ. *om.* Mc. — [5] Δάφναις Mc. — [6] βασιλεὺς Mc. — [7] αὐ...ν Mc. — [8] ἐδίωξεν Mc. — [9] ἀργαλοὺς Mc, *al.* ἄργολας Nestle, Vitae proph., *p. 18.* — [10] παρὰ τοῦ Mc. — [11] ἐκ παρθένου *add.* Mc. — [12] τοῦ *add.* Mc. — [13] λεχὼ Mc. — [14] τεθέντες Mc. — [15] τὸ *add.* Mc. — [16] φασὶ Mc. — [17] προσκυνήσωσιν Mc. — [18] ἐκβαλλεῖ S.

---

Mai 1. SYNAXARIA SELECTA. **H** : 1. 2. — **P** : 1. 2 : Βατά. Οὗτος ἦν ἐκ Περσίδος, ἐκ κώμης Βεργαμῶν, ἐπὶ Ἰασδὴχ ἀδελφοῦ Βαρζαναβᾶ, ἄρχων καὶ τελώνης Βατζιέως. — Καὶ τοῦ ἁγίου ἀποστόλου Φιλίππου, ἑνὸς τῶν Ζ' (Oct. 11[1]). — Τοῦ ὁσίου Βάσσου. — 3 : καὶ ὅτε ἦλθον τὰ τίμια ξύλα. — **D** : 1. 2 : Βατά. Οὗτος ἦν ἐκ Περσίδος, ἐκ προγόνων τὴν εἰς Χριστὸν πίστιν μεμαθηκώς. Σχεδὸν δὲ περὶ τὰ τριάκοντα ὢν ἔτη τῆς ἡλικίας, ἀκούσας τοῦ Κυρίου διὰ τοῦ εὐαγγελίου λέγοντος· « Ὅστις οὐ καταλιμπάνει πατέρα ἢ μητέρα (Cf. Luc. 14, 26.) » ἢ γυναῖκα ἢ τέκνα ἢ ἀδελφοὺς ἢ κτήματα, οὐ δύναταί μου εἶναι μαθητής, » πλησθεὶς Πνεύματος ἁγίου καὶ ὅλος τοῦ θείου πόθου γεγονώς, καταλιπὼν πάντα ἐν μοναστηρίῳ ἀπετάξατο· τὸν δὲ σκληρὸν καὶ ἐπίπονον βίον ἑλόμενος, ὑπερέβαλεν πάντας νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ ἐγκρατείᾳ, μηδὲ μιᾷ τῶν αἰσθήσεων θύραν δεδωκώς, ἀλλὰ πάσῃ φυλακῇ τηρῶν ἑαυτόν. Ἐπιθυμίαν δὲ εἶχεν τὸ διὰ μαρτυρίου τελειωθῆναι· ὅθεν κινηθέντος διωγμοῦ κατὰ τῶν χριστιανῶν καὶ πάντων τῶν σὺν αὐτῷ κατὰ τὴν κελεύουσαν ἐντολὴν μὴ ἀφειδεῖν ἑαυτῶν ἀναχωρησάντων, αὐτὸς ὑπέμεινεν τῷ περιόντι τῆς ἐπιθυμίας ποθῶν τὸ μαρτύριον· ἔνθα κατασχεθεὶς ἤδη τριακοστὸν ἔτος ἔχων ἐν τῇ ἀσκήσει, ἄγεται Ἰασδὶχ τῷ ἀδελφῷ τοῦ Βαρζαβανὰ ὄντι ἄρχοντι Νισίβεως[1]· προσκυνῆσαι δὲ τὸν ἥλιον κελευσθείς, οὐκ ἐπείσθη, ἀλλὰ παρρησίᾳ χριστιανὸν ἑαυτὸν ἐκήρυξεν. Ταθεὶς οὖν ὑπὸ δέκα στρατιωτῶν ἐξ ἑκατέρων τῶν χειρῶν τῇ βίᾳ τῆς τάσεως ἐξηρθρώθη τοὺς ὤμους· εἶτα τύπτεται ῥοπάλοις καὶ ὑπὸ εἴκοσι στρατιωτῶν κατὰ τῆς γῆς σύρεται, ἀπὸ τῶν σπερμογόνων μορίων δεθείς. Ἐπιμένων δὲ τῇ εἰς Χριστὸν πίστει, ὕπτιος τεθεὶς κατὰ τῆς γαστρὸς πολλὴν ἐπιφορὰν λίθων δέχεται· εἶθ' οὕτως τὰ μετάφρενα καὶ τὰ ὑπὸ τοὺς μαζοὺς μέρη μαχαίραις κατατέμνεται· καὶ τότε ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται. — **Da** : 1. 2. — Σάβα ἐπισκόπου Δαφνουσίας (Mai 2[9]). — **Db** : 1. 2. — Σάβα. — **K** : 1. 2. — Σάβα. — **N** : 1. 2. — **Bb** : 1. 2. —

[1] Νιτζίβιος D.